Poet. Græc.

k 1000

56. 10. B. 6

BIBLIOTECA VITT. EMANUELE
36
10 B
6
FONDO EBORENSE

576

1

Ex libris
Angeli Ambroij

Alvord
Daniel

SOPHOCLIS ELECTRA

EPIGRAMMATA GRÆCA EX FLORILEGIO SELECTA

VIRGILII ECLOGAE à Daniele Alſuorto Græcis verſibus redditæ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ROMAE,
Apud Aloyſium Zannettum, M. D. XCIII.

SVPERIORVM PERMISSV.

Bibliothecæ Domus Romanæ Pauperum Matris Dei Scholarum Piarum.

36.10.B.6

ΥΠΟΘΕΣΙΣ ΗΛΕΚΤΡΑΣ.

Ὑπόκειται ὧδε τροφεὺς, δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσι σὺν τῷ πατρί. τροφεὺς δέ ἐστιν ὁ προλογίζων πρεσβύτης, παιδαγωγὸς ὑποκείμενος, καὶ ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα, πρὸς Στρόφιον, καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγε. καὶ δι' εἴκοσιν ἐτῶν ἐπανιὼν σὺν αὐτῷ πρὸς Ἄργος, δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς, συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Παιδαγωγός. Ὀρέστης. Ἠλέκτρα. Χορὸς ἐξ ἐπιχωρίων παρθένων. Χρυσόθεμις. Κλυταιμνήστρα. Αἴγισθος.

Προλογίζει δὲ ὁ παιδαγωγός.

Ω Τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔ-
ξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος
ἦσθ' ἀεί.
τὸ γὰρ παλαιὸν ἄργος οὑπόθεις, τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης.
αὕτη δ' Ὀρέστα τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ λύκειος: οὑξ ἀριστερᾶς δ' ὅδε,
Ἥρας ὁ κλεινὸς ναός. οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν.
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε.
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν,
ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν Ὀρέστα, καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον.
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας,
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν, ὡς ἐνταῦθ' ἐμὲν,
ἵν' οὐκέτ' ὀκνεῖν καιρὸς, ἀλλ' ἔργων ἀκμή.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ὀρέ. ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις, ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
„ Ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
„ Ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
„ Ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
„ Ἡμᾶς τ' ὀτρύνεις, καὐτὸς ἐν πρώτοις ἕπῃ.
τοιγάρ, τὰ μὲν δόξαντα, δηλώσω. σὺ δέ,
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα.
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ,
δόλοισι κλέψαι χειρὸς ἐνδίκου σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον.
ὅπως ἂν εἰδώς, ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων. ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθείς, ὅθ' οὕνεκα
Τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,

ἄθλοισι πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς. ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες, ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη, καὶ κατηνθρακωμένον.
,, Τί γάρ με λυπεῖ τοῦθ' ὅταν λόγῳ θανὼν,
,, Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
,, Δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
,, Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
,, Λόγῳ μάτην θνήσκοντας. εἶθ' ὅταν δόμους
,, Ἔλθωσιν, αὖθις ἐκτετίμηνται πλέον
ὡς κἄμ' ἐπαυχῶ τῆς δὲ τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς, λάμψειν ἔτι.
ἀλλ' ὦ πατρῴα γῆ, θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖς δὲ ταῖς ὁδοῖς.
σύ τ' ὦ πατρῷον δῶμα. σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος.
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς
ἀλλ' ἀρχέπλουτον, καὶ καταστάτην δόμων.
εἴρηκα μὲν νῦν ταῦτα. σοὶ δ' ἤδη γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.

ἐγὼ δ' ἔξειμι. καιρὸς γὰρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντὸς ἐστ' ἐπιστάτης.
ἠλέ ἰώ μοί μοι δύστηνος.
παι καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι τέκνον.
ὀρέ ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων;
παι ἥκιστα. μηδὲν πρόσθεν, ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν, κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά. ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν, καὶ κράτος τῶν δρωμένων.
ἠλέ ὦ φάος ἁγνὸν, καὶ γῆς
ἰσόμοιρος ἀὴρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδὰς,
πολλὰς δ' ἀντήρεις ᾔσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ.
τὰ δὲ παννυχίδων ἤδη, στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων.
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισε.
μήτηρ δ' ἡ 'μὴ, χ' ὡ κοινολεχὴς
Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι,
σχίζει κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης,

ἣ μοῦ φέρεται, σοῦ πάτερ οὕτως
ἀδίκως οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
στυγερῶν τε γόων, ἔστ' ἂν
λεύσσω παμφεγγεῖς ἄστρων
ῥιπάς. λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶν δὲ πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' ἀΐδου, καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ, καὶ πότνι' ἀρὰ,
σεμναί τε θεῶν παῖδες Ἐριννύες,
αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτε,
τοὺς εὐνὰς ὑποκλεπτομένους,
ἔλθετ', ἀρήξατε. τίσασθε πατρὸς
φόνον ἡμετέρου.
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.
χο ἰὼ παῖ παῖ δυστανοτάτας
Ηλέκτρα ματρὸς, τίν' ἀεὶ
τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν
τὸν πάλαι ἐκ δολερᾶς ἀθεωτάτας
ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα,
κακᾷ τε χειρὶ πρόδοτον; ὡς
ὁ τάδε πορὼν

ὅλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.
ἠλέ. ὦ γενέθλα γενναίων πατέρων,
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τι με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.
ἀλλ' ὦ παντοίας
φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν.
αἲ αἲ ἱκνοῦμαι.
χο. ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα
παγκοίνου λίμνας πατέρ' ἀν-
στάσῃς οὔτε γόοις, οὔτε λιταῖς.
ἀλλ' ἀπὸ τῶν μετρίων, ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίῃ;
ἠλέ. νήπιος, ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρε φρένας,
ἃ, Ἴτυν αἰὲν Ἴτυν ὀλοφύρεται,
ὄρνις ἀτυζομένα Διὸς ἄγγελος.
ἰὼ παντλάμων
Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,
ἅτ' ἐν τάφῳ πετραίῳ
αἲ αἲ δακρύεις.

οὔτοι

χο. οὔτοι σοὶ μούνα τέκνον
ἄχος ἐφάνη βροτῶν.
πρὸς ὅ,τι σὺ τῶν ἔνδον εἶ περισσά,
οἷς ὁμόθεν εἶ, καὶ γονᾷ ξύναιμος.
οἵα Χρυσόθεμις
ζώει, καὶ Ἰφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ.
ἠλέ. ὄλβιος, ὃν ἁ κλεινὰ
γᾶ ποτὲ Μυκηναίων
δέξεται εὐπατρίδαν Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν,
ὃν ἔγωγ' ἀκάματα
προσμένουσ' ἄτεκνος,
τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν. ὁ δὲ, λάθεται
ὧν τ' ἔπαθ', ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
αἰεὶ μὲν γὰρ ποθεῖ.
ποθῶν δ', οὐκ ἀξιοῖ φανῆναι.
χο. θάρσει μοι θάρσει τέκνον
ἔστι μέγας ἐν οὐρανῷ
Ζεὺς, ὃς ἐφορᾷ πάντα, καὶ κρατύνει.
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα,
μήθ' οἷς ἐχθαίρεις
ὑπεράχθεο, μήτ' ἐπιλάθου.

Χρό-

„ Χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρίσαν
βουνόμαν ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος.
οὔθ᾽ ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
ἠλέ. ἀλλ᾽ ἐμὲ μὲν ὁ πολὺς
ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος. οὐδ᾽ ἔτ᾽ ἀρκῶ.
ἅτις ἄνευ τοκέων κατατάκομαι.
ἇς, φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ᾽ ἁπερ εἴ τις ἔποικος ἀναξία,
οἰκονομῶ θαλάμους πατρός. ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ·
κεναῖς δ᾽ ἐφίσταμαι τραπέζαις.
χο. οἰκτρὰ μὲν νόστοις αὐδὰ,
οἰκτρὰ δ᾽ ἐν κοίταις πατρῴαις,
ὅτε σοι παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγὰ,
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν. εἴτ᾽ οὖν θεὸς, εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.
ἠλέ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ᾽ ἐχθίστα δή μοι.
ὦ νύξ. ὦ δείπνων ἀῤῥήτων
ἔκπαγλ᾽ ἄχθη.

τοῦ, ἐμὸς εἶδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν.
οἷς θεὸς ὁ μέγας ὀλύμπιος,
ποίνιμα πάθεα παθεῖν πόροι.
μηδέποτ' ἀγλαΐας ἀπονᾴατο,
τοιάδ' ἀνύσαντες ἔργα.
χο. φράζε μὴ πόρσω φωνεῖν.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
ψυχᾷ πολέμους. τὰ δὲ, τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.
ἠλέ. ἐν δεινοῖς ἠναγκάσθην. ἐν δεινοῖς
ἔξοιδ'. οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἄν ὦ φιλία γενέθλα
πρόσφορον ἀκοῦσαί μ' ἔπος;
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ' ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται. οὐδέ

ποτ'-

ποτ' ἐκ καμάτων ἀποπαύσομαι,
ἀνάριθμος ὧδε θρήνων.
χο. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
μάτηρ ὡσεί τις πιστὰ,
μὴ τίκτειν σ' ἄταν ἄταις.
ἠλέ. καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις,
μήτ' εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν, θανὼν, γᾶ τε καὶ οὐδὲν ὢν,
κείσεται τάλας, οἱ δὲ, μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς, ἁπάντων
τ' εὐσέβεια θνατῶν.
χο. ἐγὼ μὲν ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς, ἦλθον. εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.
ἠλέ. αἰσχύνομαι μὲν ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνὴ
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,

ἃ 'γὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ.
ᾗ πρῶτα μὲν τὰ μητρὸς ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν. εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς, τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι. κἀκ τῶνδ' ἄρχομαι. κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως, καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις; εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταυτὰ, καὶ παρεστίους
σπένδοντα λοιβὰς, ἔνθ' ἐκεῖνον ὤλεσεν.
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοφόντην ἡμῖν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρὶ, μητέρ' εἰ χρεὼν
ταύτην προσαυδᾶν, τῷδε συγκοιμωμένην.
ἡ δ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι
ξύνεσ', Ἐριννὺν οὔτιν' ἐκφοβουμένη,
ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις.
εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι, καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱερὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας,
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην,

αὐτὴ

αὐτὴ πρὸς αὐτήν. οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ᾽ ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα, τοιάδ᾽ ἐξονειδίζει κακά.
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν, ἄλλος δ᾽ οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο. μηδέ σ᾽ ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ᾽ ἐξυβρίζει. πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ᾽ Ὀρέστην, τηνικαῦτα δ᾽ ἐμμανὴς
βοᾷ παραστᾶσ᾽, οὐ σύ μοι τῶνδ᾽ αἰτία;
οὐ σὸν τόδ᾽ ἐστὶ τοὔργον; ἥτις ἐκ χερῶν
κλέψασ᾽ Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ᾽ ἴσθι τοι τίσουσά γ᾽ ἀξίαν δίκην.
τοιαῦθ᾽ ὑλακτεῖ. σὺν δ᾽ ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταῦτα νυμφίος παρὼν,
ὁ πάντ᾽ ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ᾽ Ὀρέστην τῶνδε προσμένουσ᾽ ἀεὶ
παυστῆρ᾽ ἐφήξειν ἡ τάλαιν᾽, ἀπόλλυμαι.
μέλλων γὰρ αἰεὶ δρᾶν τι, τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις, οὔτε σωφρονεῖν φίλαι,
οὔτ᾽ εὐσεβεῖν πάρεστιν, ἀλλ᾽ ἐν τοῖς κακοῖς,
πολλή γ᾽ ἀνάγκη κἀπιτηδεύειν κακά.
χο φέρ᾽ εἰπὲ, πότερον ὄντος Αἰγίσθου πέλας

λέγεις

λέγοις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ἠλέ. ἦ κάρτα. μὴ δόκει μ' ἂν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν. νῦν δ' ἀγροῖσι τυγχάνει.
χο. ἦ δ' ἂν ἐγὼ θαρσοῦσα, μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει.
ἠλέ. ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον.
χο. καὶ δή σ' ἐρωτῶ. τοῦ κασιγνήτου τί φῂς,
ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.
ἠλέ. φησίν γε. φάσκων δ', οὐδὲν ὧν λέγει ποιεῖ.
χο. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ἠλέ. καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον, οὐκ ὄκνῳ.
χο. θάρσει. πέφυκεν ἐσθλὸς ὥστ' ἀρκεῖν φίλοις.
ἠλέ. πέποιθ', ἐπεί τ' ἂν οὐ μακρὰν ἔζων ἐγώ.
χο. μὴ νῦν ἔτ' εἴπῃς μηδὲν, ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον ἐκ πατρὸς ταὐτοῦ φύσιν
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.
χρυ. τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς ὦ κασιγνήτη φάτιν;
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις,
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καί τοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν. ὥστ' ἂν εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ.
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.

τοιαῦ-

τοιαῦτα δ' ἄλλα καὶ σὲ βούλομαι ποιεῖν.
καί τοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ἠλέ. δεινόν γέ σ' οὖσαν πατρὸς, οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα,
κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἐπεὶ θ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα, μὴ μνήμην ἔχειν.
ἥτις λέγεις μὲν ἀρτίως ὡς εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν.
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης,
οὔτε ξυνέρδεις, τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν οἶδ', ἐπαρκούντως δέ μοι.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα, μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ, τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ' οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι. σοὶ δὲ πλουσία
τράπεζα κείσθω, καὶ περιρρείτω βίος.

ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα. τῆς σῆς δ' οὐ κρατῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανῇ πλείστοις κακὴ,
θανόντα πατέρα, καὶ φίλους προδοῦσα σούς.
χο μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν, ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
χρυ ἐγὼ μὲν ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων. οὐδ' ἂν ἐμνήσθην ποτὲ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην μακρῶν σχήσει γόων.
ἠλέ φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξῃς, οὐκ ἂν ἀντείποιμ' ἔτι.
χρυ ἀλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ' εἰ τῶνδε μὴ λήξοις γόων,
ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου
φέγγος προσόψει. ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσῃς κακά.
πρὸς ταῦτα φράζου. καί με μήποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ἠλέ ἦ ταῦτα δή μοι καὶ βεβούλευνται ποιεῖν;
χρυ μάλισθ', ὅτανπερ οἴκαδ' Αἴγισθος μόλῃ.
ἠλέ ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
χρυ τίν' ὦ τάλαινα τόνδ' ἐπηράσω λόγον.

ἠλέ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
χρυ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ἠλέ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτ' ἐκφύγω.
χρυ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ἠλέ. καλὸς γὰρ οὑμὸς βίοτος, ὥστε θαυμάσαι.
χρυ. ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ἠλέ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
χρυ. ἀλλ' οὐ διδάσκω. τοῖς κρατοῦσι δ' εἰκάθειν.
ἠλέ. σὺ ταῦτα θώπευ', οὐκ ἐμοὺς τρόπους λέγεις.
χρυ. καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ἠλέ. πεσούμεθ' εἰ χρή, πατρὶ τιμωρούμενοι.
χρυ. πατὴρ δὲ τούτων οἶδα συγγνώμην ἔχει.
ἠλέ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
χρυ. σὺ δ' οὐχὶ πείσῃ, καὶ συναινέσεις ἐμοί;
ἠλέ. οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
χρυ. χωρήσομαί τ' ἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ἠλέ. ποῖ δ' ἐκπορεύῃ; τῷ φέρεις τάδ' ἔμπυρα;
χρυ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ἠλέ. πῶς εἶπας. ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
χρυ. ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.
ἠλέ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
χρυ. ἐκ δείματός του νυκτέρου δοκεῖν ἐμοί.
ἠλέ. ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
χρυ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ἠλέ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
χρυ. ἀλλ' οὐ κάτοιδα, πλὴν ἐπὶ σμικρὸν φράσαι.

ἠλέ λέγ᾽ ἀλλὰ τοῦτο. Πολλά τοι σμικροὶ λόγοι
,, ἔσφηλαν ἤδη, καὶ κατώρθωσαν βροτούς.
χρυ λόγος τις αὐτὴν ἐστὶν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν,
ἐλθόντος ἐς φῶς. εἶτα τόνδ᾽ ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον, οὑφόρει ποτὲ
αὐτὸς, τανῦν δ᾽ Αἴγισθος. ἔκ τε τοῦδ᾽ ἄνω
βλαστεῖν βρύοντα θαλλόν. ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος ἡνίχ᾽ ἡλίῳ
δείκνυσι τοὔναρ ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει με κείνη τοῦδε τοῦ φόβου χάριν.
ἠλέ πρὸς νῦν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν,
ἐμοὶ πιθέσθαι. μήδ᾽ ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ᾽ ἀπώσῃ σὺν κακῷ μέτει πάλιν.
ἀλλ᾽ ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν.
τύμβῳ προσάψῃς μηδέν. οὐ γάρ σοι θέμις,
οὐδ᾽ ὅσιον, ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ᾽, οὐδὲ λουτρὰ προσφέρειν πατρί.
ἀλλ᾽ ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν. ἔνθα μή ποτ᾽ εἰς εὐνὴν πατρὸς
τούτων προσέρψει μηδὲν, ἀλλ᾽ ὅταν θάνῃ.
κειμήλι᾽ αὐτῇ ταῦτα σωζέσθω κάτω.
ἀρχὴν δ᾽ ἂν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε μοι δυσμενεῖς χοὰς,

οὐκ

οὐκ ἂν ποθ' ὅν γ' ἔκτεινε, ταῦθ' ἐπέστεφε.
σκέψαι γὰρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι λέξασθαι νέκυς,
ὑφ' ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς,
ἐμασχαλίσθη, κἀπὶ λουτροῖσιν κάρα
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες. σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας,
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἅχω, δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα,
καὶ ζῶμα τοὐμὸν, οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα, γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν.
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν, ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα.
ὅμως δ' ἀδελφὴ, σοί θ' ὑπούργησον τάδε,
ἐμοί τ' ἀρωγὰ, τῷ τε φιλτάτῳ βροτῶν
πάντων ἐν ἅδου κειμένῳ κοινῷ πατρί.
Χο. Πρὸς εὐσέβειαν ἡ κόρη λέγει. σὺ δὲ
εἰ σωφρονήσεις ὦ φίλη, δράσεις τάδε.
Χρυ. δράσω. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ,
σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω φίλαι.
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΧΟ. εἰ μὴ ἐγὼ παράφρων
μάντις ἔφυν, καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα δίκαια φερομένα,
χεροῖν κράτη. μέτεισιν ὦ
τέκνον οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θάρσος,
ἁδυπνόων κλύουσαν ἀρ-
τίως ὀνειράτων.
οὐ γὰρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ελλαίων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπληκτος
ἀμφήκης γένυς, ἅ νιν κατέπεφνεν αἰ-
σχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους,
καὶ πολύχειρ, ἁ δεινοῖς
κρυπτομένα λόχοις χαλκόπους Ἐρινύς,
ἄλεκτρ', ἄνυμφα γὰρ ἐπέβα
μιαιφόνων γάμων ἁμιλ-
λήμαθ'. οἷσιν οὐ θέμις

πρὸ

περὶ τῶν δέ τοι μ᾽ ἔχει,
μή ποτε μή ποθ᾽ ἡμῖν ἀ-
ψεγὲς πελᾶν τέρας.
τοῖς δρῶσι καὶ συνδρῶσιν ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις,
οὐδ᾽ ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς
εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν
πολύπονος ἱππεία.
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη
παγχρύσων δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθεὶς,
οὔτις πω
ἔλειπεν ἐκ τοῦδ᾽ οἴκου
πολύπονος αἰκία.

ΚΛΥ. ἀνειμένη μὲν ὡς ἔοικας αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ᾽ Αἴγισθος, ὅς σ᾽ ἐπεῖχ᾽ ἀεὶ,
μή τοι θυραίαν γ᾽ οὖσαν αἰσχύνειν φίλους.
νῦν δ᾽ ὡς ἄπεστ᾽ ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε. καί τοι πολλὰ πρὸς πολλούς με δὴ

ἐξεῖπας, ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ᾽ ὕβριν μὲν οὐκ ἔχω. κακῶς δέ σε
λέγω, κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γὰρ, οὐδὲν ἄλλο σοι πρόσχημ᾽ ἀεὶ,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ. καλῶς
ἔξοιδα. τῶνδ᾽ ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη.
ᾗ χρῆν σ᾽ ἀρήγειν, εἰ φρονοῦσ᾽ ἐτύγχανες.
ἐπεὶ πατὴρ οὗτος σὸς ὃν θρηνεῖς ἀεὶ,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν. οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης ὅτ᾽ ἔσπειρ᾽, ὥσπερ ἡ τίκτουσ᾽ ἐγώ.
εἶεν. δίδαξον δή με τοῦ, χάριν τίνος
ἔθυσεν αὐτὴν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ᾽ οὐ μετῆν αὐτοῖσι τήν γ᾽ ἐμὴν κτανεῖν.
ἀλλ᾽ ἀντ᾽ ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ᾽, οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ᾽ ἦν χάριν;
ἢ τῶν ἐμῶν ᾅδης τιν᾽ ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ, τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ᾽ ἐνῆν;
οὐ ταῦτ᾽ ἀβούλου καὶ κακοῦ γνώμην πατρός;

δοκῶ

δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ᾽ ἂν ἡ θανοῦσά γ᾽ εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος. εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς,
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ἠλέ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ᾽ ὡς ἄρξασά τι
λυπηρὸν, εἶτα σοῦ τάδ᾽ ἐξήκουσ᾽ ὕπο.
ἀλλ᾽ ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος γ᾽ ὕπερ
λέξαιμ᾽ ἂν ὀρθῶς, τῆς κασιγνήτης θ᾽ ὁμοῦ.

κλυ. καὶ μὴν ἐφίημ᾽. εἰ δέ μ᾽ ὧδ᾽ ἀεὶ λόγοις
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

ἠλέ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ᾽ ἂν αἰσχίων ἔτι,
εἴτ᾽ οὖν δικαίως, εἴτε μή; λέξω δέ σοι,
ὡς οὐ δίκῃ γ᾽ ἔκτεινας, ἀλλά σ᾽ ἔσπασεν
πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν, τίνος
ποινῆς, τὰ πολλὰ πνεύματ᾽ ἔσχ᾽ ἐν αὐλίδι.
ἢ ᾽γὼ φράσω. κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ᾽ οὑμὸς ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ᾽ ἄλσος, ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον. οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη,
κατεῖχ᾽ Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς, ἐκθύσειε τὴν αὑτοῦ κόρην.

ἅδ᾽.

ὧδ' ἦν τὰ κείνης θύματ'. οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον, οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ, κἀντιβὰς, μόλις
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σὸν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ.
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς,
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τίθης.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα, μὴ σκῆψιν οὐκ οὖσαν τίθης.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ. μεθ' οὗ
πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς. τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας, ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ τοῦτ' ἐρεῖς,
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς δ', ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν, ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω.

ἢ ζῶ

ἢ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα, τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω χεῖρα σὴν μόλις φυγὼν
τλήμων Ὀρέστης, δυστυχῆ τρίβει βίον.
ὃν πολλὰ δή με σοὶ τρέφειν μιάστορα
ἐπητιάσω. καὶ τόδ' εἴπερ ἔσθενον,
ἔδρων ἂν, εὖ τοῦτ' ἴσθι, τοῦδέ γ' οὕνεκα,
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρῇ κακὴν,
εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
χο. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
κλυ. ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος;
ἥ τις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε.
καὶ ταῦτα τηλικοῦτος. ἆρ' οὔ σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ηλέ. εὖ νῦν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι. μανθάνω δ' ὅθ' οὕνεκα
ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια, καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
„ Αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
κλυ. ὦ θρέμμ' ἀναιδὲς, ἤ σ' ἐγὼ, καὶ τἄμ' ἔπη,
καὶ τἄργα τἀμὰ, πόλλ' ἄγαν λέγειν ποιεῖ;
ηλ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς

πύργον. τὰ δ' ἔργα, τοὺς λόγους εὑρίσκεται.
κλυ. ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν, θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ἠλέ. ὁρᾷς, πρὸς ὀργὴν ἐκφέρῃ μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν;
κλυ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπεὶ δὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ἠλέ. ἐῶ. κελεύω. θῦε. μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
κλυ. ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ' ἄνακτι τῷδ', ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη Φοῖβε προστατήριε
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος. οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς, παρούσης τῆσδε πλησίας ἐμοί.
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ,
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε. τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα,
δισσῶν ὀνείρων, ταῦτά μοι Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεσφόρα.
εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες.
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς.
ἀλλ' ὧδέ μ' αἰεὶ ζῶσαν ἀβλαβεῖ βίῳ,

δόμους

δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν.
εὐημεροῦσαν. καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν, ἢ λύπη πικρά.
ταῦτ' ὦ λύκει' Ἄπολλον ἵλεως κλύων,
δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ,
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
„ Τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
παι ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς,
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
χο τάδ' ἐστὶν ὦ ξέν'. αὐτὸς εἴκασας καλῶς.
παι ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
χο μάλιστα πάντων ἥδε σοι κείνη πάρα.
παι ὦ χαῖρ' ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς, Αἰγίσθῳ θ' ὁμοῦ.
κλυ ἐδεξάμην τὸ ῥηθέν. εἰδέναι δέ σου
πρώτιστα χρῄζω, τίς σ' ἀπέστειλε βροτῶν.
παι Φανοτεὺς ὁ φωκεὺς, πρᾶγμα πορσύνων μέγα.
κλυ τὸ ποῖον ὦ ξέν', εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
παι τέθνηκ' Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
ηλέ οἲ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
κλυ τί φῂς, τί φῂς ὦ ξεῖνε; μὴ ταύτης κλύε.
παι θανόντ' Ὀρέστην νῦν τε καὶ τότ' ἐννέπω.

ἀπω-

ἠλέ. ἀπωλόμην δύστηνος. οὐδέν εἰμ' ἔτι.
κλυ. σὺ μὲν τὰ σαυτῆς πράσσ'. ἐμοὶ δὲ σὺ ξένε,
τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται.
παι. κἀπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος, δελφικῶν ἄθλων χάριν.
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων,
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας.
δρόμου δ' ἰσώσας τῇ φύσει τὰ τέρματα,
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ', ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
δρόμων διαύλων πεντάεθλ', ἃ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης. τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
» καὶ ταῦτα μὲν τοιαῦθ'. Ὅταν δέ τις θεῶν
» Βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας ὅθ' ἱππικῶν
ἦν, ἡλίου τέλλοντος, ὠκύπους ἀγὼν,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν ἀχαιός. εἷς ἀπὸ Σπάρτης. δύο
λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται.

κἀκεῖ-

κἀκεῖνος ἐν τούτοισι, Θεσσαλὰς ἔχων
ἵππους ὁ πέμπτος. ἕκτος, ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις. ἕβδομος, μάγνης ἀνήρ.
ὁ δ' ὄγδοος, Λεύκιππος Αἰνιᾶν γένος.
ἔνατος, Ἀθηνῶν τῶν θεοδμήτων ἄπο,
βοιωτὸς ἄλλος δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβεῖς
κλήροις ἔπηλαν, καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν. οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες, ἡνίας χεροῖν
ἔσεισαν, ἐν δὲ πᾶς ἐμεστώθη δρόμος,
κτύπου κροτητῶν ἁρμάτων. κόνις δ' ἄνω
φορεῖθ'. ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι,
φείδοντος κέντρων οὐδέν. ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν, καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις,
ἤφριζον εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων,
ἔχριμπτ' ἀεὶ σύριγγα. δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον, εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι.
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν. ἐκ δ' ὑποστροφῆς
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι βαρκαίοις ὄχοις.
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ,

ἔθραυε,

ἔθραυσε, κἀνέπιπτε. πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος,
ἔξω παρασπᾷ, κἀνακωχεύει, παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μὲν, ὑστέρας δ' ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων.
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις, διώκει. κἀξισώσαντες ζυγὰ,
ἠλαυνέτην, πότ' ἄλλος ἄλλοθ', ἅτερος
κάρα προσβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων.
ἔπειτα, λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου, λανθάνει στήλην ἄκραν
παίσας. ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε. σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι. τοῦ δὲ, πίπτοντος πέδῳ,
πῶλοι διεσπάρησαν εἰς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας, οἷα λαγχάνει κακά.
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων. ἔστε νιν διφρηλάται
μόλις κατασχέθοντες ἱππικὸν δρόμον,

ἔλυ-

ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς, ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα, δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχῃ χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν· ὡς μὲν ἐν λόγοις,
ἀλγεινά. τοῖς δ' ἰδοῦσιν οἵπερ εἴδομεν,
μέγιστα πάντων, ὧν ὄπωπ' ἐγὼ κακῶν.

χο φεῦ φεῦ, τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι,
πρόρριζον ὡς ἔοικεν ἔφθαρται γένος.

κλυ ὦ Ζεῦ. τί ταῦτα; πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σῴζω κακοῖς.

παι τί δ' ὧδ' ἀθυμεῖς ὦ γύναι τῷ νῦν λόγῳ;

κλυ δεινὸν τὸ τίκτειν ἐστίν. οὐδὲ γὰρ κακῶς
πάσχοντι, μῖσος ὧν τέκῃ προσγίνεται.

παι μάτην ἄρ' ἡμεῖς ὡς ἔοικεν ἥκομεν.

κλυ οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις,
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες; ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς, καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο. καί μ' ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν. ἐγκαλῶν δέ μοι
φόνους πατρῴους, δείν' ἐπηπείλει τελεῖν.
ὥστ' οὔτε νυκτὸς ὕπνον, οὔτ' ἐξ ἡμέρας,

ἐμὲ στεγάζειν ἡδύν. ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ', ἡμέρᾳ γὰρ τῇδ', ἀπήλλαγμαι φόβου.
πρὸς τῆσδ' ἐκείνου θ'. ἥδε γὰρ μείζω βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα. νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ἠλέ οἴμοι τάλαινα. νῦν γὰρ οἰμῶξαι πάρα
Ὀρέστα τὴν σὴν ξυμφοράν. ὅθ' ὧδ' ἔχων,
πρὸς τῆσδ' ὑβρίζῃ μητρός. ἆρ' ἔχει καλῶς;
κλυ οὔτοι σύ. κεῖνος δ' ὡς ἔχει, καλῶς ἔχει.
ἠλέ ἄκουε Νέμεσι τοῦ θανόντος ἀρτίως.
κλυ ἤκουσεν ὧν δεῖ, κἀπεκύρωσεν καλῶς.
ἠλέ ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
κλυ οὔκουν Ὀρέστης καὶ σὺ, παύσετον τάδε.
ἠλέ πεπαύμεθ' ἡμεῖς. οὐχ ὅπως σε παύσομεν.
κλυ πολλῶν ἂν ἥκοις ὦ ξέν' ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
παι οὐκοῦν ἀποστείχοιμ' ἂν, εἰ τάδ' εὖ κυρεῖ.
κλυ ἥκιστ'. ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας. οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω. τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὐτῆς, καὶ τὰ τῶν φίλων κακά.
ἠλέ ἆρ' ὕμιν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι, κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;

ἀλλ'

ἀλλ᾽ ἐγγελῶσα, φροῦδος. ὦ τάλαιν᾽ ἐγώ,
Ὀρέστα φίλταθ᾽, ὥς μ᾽ ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς,
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε,
κἀμοῦ ταλαίνης. νῦν δὲ, ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι. σοῦ τ᾽ ἀπεστερημένη,
καὶ πατρὸς ἤδη, δεῖ με δουλεύειν πάλιν,
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ᾽ οὔτι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσομ᾽. ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ᾽ ἐμαυτὴν, ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα, καινέτω τις, εἰ βαρύνεται
τῶν ἔνδον ὄντων. ὡς χάρις μὲν ἢν κτάνῃ,
λύπη δ᾽ ἐὰν ζῶ. τοῦ βίου δ᾽, οὐδεὶς πόθος.

χο. ποῦ ποτε κεραυνοὶ διὸς, ἢ ποῦ φαέθων
ἅλιος, εἰ ταῦτ᾽ ἐφορῶντες,
κρύπτουσιν ἕκηλοι.

ἠλέ. ἒ ἒ, αἶ αἶ.

χο. ὦ παῖ τί δακρύεις;

ἠλέ. φεῦ.

χο. μηδὲν μέγ᾽ ἀΰσῃς.

ἠλέ. ἀπολεῖς.

χο. πῶς;

ἠλέ. εἰ τῶν φανερῶς οἰ-

χομένων ἐς ἀΐδαν
ἐλπίδ' ὑποίσεις κατ' ἐμοῦ
τακομένας,
μᾶλλον ἐπεμβάσῃ.
χο οἶδα γὰρ ἄνακτ' Ἀμφιαρέων
χρυσοδέτοις
ἕρκεσι κρυφθέντα
γυναικῶν ἀπάταις.
καὶ νῦν ὑπὸ γαίας
ἠλέ ἒ ἒ. ἰώ.
χο πάμψυχος ἀνάσσει·
ἠλέ φεῦ.
χο φεῦ δῆτ'. ὀλοὰ γάρ.
ἠλέ ἐδάμη;
χο ναί·
ἠλέ οἶδ' οἶδ'. ἐφάνη γὰρ
μελέτωρ ἀμφὶ τὸν ἐν
πένθει. ἐμοὶ δ' οὔτις ἔτ' ἔσθ'. ὃς
γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
χο δειλαία, δειλαίων κυρεῖς.
ἠλέ κἀγὼ τοῦδ' ἵστωρ ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ πολλῶν
δεινῶν, στυγνῶν τ' αἰώνων.
χο εἴδομεν ἃ θρηνεῖς.
ἠλέ μή με νῦν μηκέτι

παραγάγης ἵν' οὔ.

χο. τί φής; αὐδᾷς δὲ ποῖον;

ἠλέ. πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων
 εὐπατριδᾶν τ' ἀρωγοί.

χο. πᾶσι θνατοῖς ἔφυ μόρος,

ἠλέ. ἦ καὶ χαλαργοῖς ἐν ἀμίλλαις
 οὕτως ὡς κείνῳ δυστάνῳ
 τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;

χο. ἄσκοπος ἀλώβα.

ἠλέ. πῶς γὰρ οὔκ; εἰ ξένος
 ἄτερ ἐμᾶν χερᾶν.

χο. παπαῖ.

ἠλέ. κέκευθεν οὔτε του τάφου ἀντιάσας,
 οὔτε γόων παρ' ἡμῶν.

χρυ. ὑφ' ἡδονῆς τοι φιλτάτη διώκομαι,
 τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
 φέρω γὰρ ἡδονάς τε, κἀνάπαυλαν, ὧν
 πάροιθεν εἶχες, καὶ κατέστενες κακῶν.

ἠλέ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
 ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν.

χρυ. πάρεστ' Ὀρέστης ἡμίν. ἴσθι τοῦτ' ἐμοῦ
 κλύουσ' ἐναργῶς ὥσπερ εἰσορᾷς ἐμέ.

ἠλέ. ἀλλ' ἦ μέμηνας ὦ τάλαινα, κἀπὶ τοῖς
 σαυτῆς κακοῖσι, κἀπὶ τοῖς ἐμοῖς γελᾷς;

χρυ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
 λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.

ἠλέ οἴμοι τάλαινα. καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ', ὧδε πιστεύεις ἄγαν;
χρυ ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα, τῷδε πιστεύω λόγῳ.
ἠλέ τίν' ὦ τάλαιν' ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα, θάλπῃ τῷδ' ἀνηκέστῳ πυρί;
χρυ πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν, ἢ φρονοῦσαν ἢ μωρὰν λέγῃς.
ἠλέ σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
χρυ καὶ δὴ λέγω τι πᾶν, ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος. καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ', ἔσχον θαῦμα. καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον. ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον.
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ συνήθες ὄμμα φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον.
καὶ χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως, καὶ τότ' ἐξεπίσταμαι,
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.

τῷ,

τῷ, γὰρ προσήκει πλὴν γ' ἐμοῦ καὶ σοῦ τόδε·
κἀγὼ μὲν οὐκ ἔδρασα τοῦτ' ἐπίσταμαι.
οὐδ' αὖ σύ. πῶς γὰρ, ᾗ γε μὴ δὲ πρὸς θεοὺς
ἔξεσ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς, οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν, οὔτε δρῶσ', ἐλάνθανεν.
ἀλλ' ἔς' Ὀρέστου ταῦτα τἀπιτίμια.
ἀλλ' ὦ φίλη, θάρσυνε, τοῖς αὐτοῖσί τοι
οὐκ αὐτὸς αἰεὶ δαιμόνων παραστατεῖ.
νῷν δ' ἦν τὰ πρόσθεν στυγνός. ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ἠλέ. φεῦ τῆς ἀνοίας. ὥς σ' ἐποικτίρω πάλαι.
χρυ. τί δ' ἔστιν. οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ἠλέ. οὐκ οἶσθ' ὅποι γῆς, οὐδ' ὅποι γνώμης φέρῃ.
χρυ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
ἠλέ. τέθνηκεν ὦ τάλαινα. τὰ κείνου δέ σοι
σωτήρι', ἔρρει. μηδὲν ἐς κεῖνόν γ' ὅρα.
χρυ. οἴμοι τάλαινα. τοῦ, τάδ' ἤκουσας βροτῶν;
ἠλέ. τοῦ πλησίον παρόντος ἡνίκ' ὤλλυτο.
χρυ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοι μ' ὑπέρχεται.
ἠλέ. κατ' οἶκον, ἡδὺς, οὐδὲ μητρὶ δυσχερής.
χρυ. οἴμοι τάλαινα. τοῦ, γὰρ ἀνθρώπων πότ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ἠλέ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.
χρυ. ὦ δυστυχής. ἐγὼ δὲ σὺν χαρᾷ λόγους

τοιάσδ' ἔχουσ', ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα
ἵν' ἦμεν ἄτης. ἀλλὰ νῦν ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν, ἄλλα θ' εὑρίσκω κακά.
ἠλέ. οὕτως ἔχει σοι ταῦτ'. ἐὰν δέ μοι πιθῇ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
χρυ. ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ἠλέ. οὐκ ἔσθ' ὅ γ' εἶπον. οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
χρυ. τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος;
ἠλέ. τλῆναί σε δρῶσαν, ἅν σ' ἐγὼ παραινέσω.
χρυ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ἠλε. ὅρα. Πόνου τοι χωρὶς, οὐδὲν εὐτυχεῖ.
χρυ. ὁρῶ. ξυνοίσω πᾶν ὅσον περ αὖ σθένω.
ἠλέ. ἄκουε δὴ νῦν ἣ βεβούλευμαι τελεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων,
ὡς οὔτις ἡμῖν ἐστὶν, ἀλλ' ᾅδης λαβὼν,
ἀπεστέρηκε, καὶ μόνα λελείμμεθον.
ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου πότ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός.
νῦν δ' ἡνίκ' οὐκέτ' ἐστὶν, ἐς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου,
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν
Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥάθυμος; εἰς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθὴν; ᾗ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ.

πάρεστι δ' ἀλγεῖν, ἐς τοσόνδε τοῦ χρόνου
ἄλεκτρα γηράσκουσαν, ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξῃ πότ', οὐ γὰρ ὧδ' ἄβουλος ἔστ' ἀνὴρ
Αἴγισθος, ὥστε σὸν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσῃ, τοῦ κασιγνήτου θ' ἅμα.
ἔπειτα δ' ὥσπερ ἐξέφυς ἐλευθέρα,
καλῇ τὸ λοιπὸν, καὶ γάμων ἐπαξίων
„ τεύξῃ. Φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγω γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν,
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται;
ἴδεσθε τώδε τὼ κασιγνήτω φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην.
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ,
ψυχῆς ἀφειδήσαντε, προὐστήτην φόνου.
Τούτω φιλεῖν χρή. τώδε χρὴ πάντας σέβειν.
τώδ' ἔνθ' ἑορταῖς, ἔν τε πανδήμῳ πόλει,
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν, θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ' ὦ φίλη, πείσθητι. συμπόνει πατρί.

σύγ-

σύγκαμν' ἀδελφῷ. παῦσον ἐκ κακῶν ἐμέ.
παῦσον δὲ σαυτήν, τοῦτο γιγνώσκουσ', ὅτι
» ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
Χο. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμήθεια
καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος.
Χρυ. καὶ πρίν γε φωνεῖν ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα, τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζῃ, κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν, οὐδ' ἀνὴρ ἔφυς.
σθένεις δ' ἔλαττον τῶν ἐναντίων χερί.
δαίμων δὲ, τοῖς μὲν, εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ, κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν,
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
» Ὅρα κακῶς πράσσοντε, μὴ μείζω κακὰ
» Κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
» Λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
» Βάξιν καλὴν λαβόντε, δυσκλεῶς θανεῖν.
» Οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
» Χρῄζων τις, εἶτα μὴ δὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι, κἀξερημῶσαι γένος,
κατέχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα,
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι.

αὐτὴ

αὐτὴ δὲ νοῦν σχές. ἀλλὰ τῷ χρόνῳ ποτὲ
σθένουσα μηδὲν, τοῖς κρατοῦσιν εἰκαθεῖν.
χο Πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
„ Κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.
ἠλέ ἀπροσδόκητον οὐδὲν εἴρηκας. καλῶς
δ' ᾔδειν σ' ἀπορρίψουσαν ἁ' πηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ', οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
χρυ φεῦ. εἴθ' ὤφελες τοιάδε τὴν γνώμην, πατρὸς
θνήσκοντος εἶναι, πάντα γὰρ κατειργάσω.
ἠλέ ἀλλ' ἦ φύσιν γε. τὸν δὲ νοῦν, ἥσσων τότε.
χρυ ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ἠλέ ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε;
χρυ εἰκὸς γὰρ ἐγχειροῦντα, καὶ πράττειν κακῶς.
ἠλέ ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
χρυ ἀνέξομαι κλύουσα, χ' ὤταν εὖ λέγῃς.
ἠλέ ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.
χρυ μακρὸς τὸ κρῖναι ταῦτα χ' ὡ λοιπὸς χρόνος.
ἠλέ ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
χρυ ἔνεστιν. ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ἠλέ ἐλθοῦσα, μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
χρυ οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ἠλέ ἀλλ' οὖν, ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
χρυ ἀτιμίας μὲν οὔ, προμηθίας δὲ σοῦ.
ἠλέ τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
χρυ ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσῃ σὺ νῷν.

ἢ δεῖν

ἠλέ. ἡ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.
χρυ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ἠλέ. τί δ'. οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
χρυ. Ἀλλ' ἔστιν ἔνθα χ' ἡ δίκη βλάβην φέρει.
ἠλέ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
χρυ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ἠλέ. καὶ μὴν ποιήσω γ', οὐδὲν ἐκπλαγεῖσά σε.
χρυ. καὶ τοῦτ' ἀληθὲς οὐδὲ βουλεύσῃ πάλιν;
ἠλέ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
χρυ. φρονεῖν ἔοικας οὐδὲν, ὧν ἐγὼ λέγω.
ἠλέ. πάλαι δέδοκται ταῦτα, κοὐ νεωστί μοι.
χρυ. ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν, οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ἠλέ. ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς. ἐπεὶ
„ Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
χρυ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.
χο. τί τοὺς ἄνωθεν φρονιμωτάτους
οἰωνοὺς ἐσορώμενοι
τροφᾶς κηδομένους, ἀφ' ὧν
τε βλαστῶσιν, ἀφ' ὧν τ' ὄνησιν εὕρω-
σι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;
ἀλλ' οὐ μὰ τὰν Διὸς ἀστραπὰν,
καὶ τὰν οὐρανίαν θέμιν,

δαρὸν

δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα,
κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις,
ἀχόρευτα φέρουσ' ὀνείδη.
ὅτι σφίσιν ἤδη τὰ μὲν ἐκ δόμων,
νοσεῖ. τὰ δὲ πρὸς τέκνων,
διπλῆ φύλοπις οὐκέτ' ἐξι-
σοῦται φιλοτασίῳ διαίτᾳ.
πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα τὸν ἀεὶ πατρὸς
δειλαία στενάχουσ', ὅπως
ἁ πανόδυρτος ἀηδὼν
οὔτε τι τοῦ θανεῖν προμηθὴς,
τό τε μὴ βλέπειν ἑτοίμα
διδύμαν ἑλοῦσ' Ἐρινύν.
τίς ἂν οὖν εὔπατρις ὧδε βλαστοῖ;
„ Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς,
„ Εὔκλειαν αἰσχῦναι θέλει
„ Νώνυμος ὦ παῖ παῖ.
ὡς καὶ σὺ πάγκλαυστον αἰ-
ῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα
δύο φέρειν ἐνὶ λόγῳ,
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζῴης μοι καθύπερθε χειρὶ,

καὶ

καὶ πλούτῳ τῶν ἐχθρῶν, ὅσον
νῦν ὑπὸ χεῖρα ναίεις.
ἐπεί σ' ἐφηύρηκα μοί-
ρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν. ἃ δὲ μέγιστ' ἔβλαστε,
νόμιμα, τῶν δὲ φερομέναν
ἄριστα τᾷ Διὸς εὐσεβείᾳ.

ὀρέ. ἆρ' ὦ γυναῖκες ὀρθά τ' εἰσηκούσαμεν,
ὀρθῶς δ' ὁδοιποροῦμεν ἔνθα χρήζομεν;

χο. τί δ' ἐξερευνᾷς, καὶ τί βουληθεὶς πάρει;

ὀρέ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.

χο. ἀλλ' εὖ θ' ἱκάνεις, χ' ὡ φράσας ἀζήμιος.

ὀρέ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;

χο. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.

ὀρέ. ἴθ' ὦ γύναι, δήλωσον εἰσελθοῦσ', ὅτι
Φωκεῖς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.

ἠλέ. οἴμοι τάλαιν'. οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;

ὀρέ. οὐκ οἶδα τὴν σὴν κληδόν', ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.

ἠλέ. τί δ' ἔστιν ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.

ὀρέ. φέροντες αὐτοῦ μικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς κομίζομεν.

ἠλέ. οἲ ἐγὼ τάλαινα. τοῦτ' ἐκεῖν' ἤδη σαφὲς
προχειρον ἄχθος ὡς ἔοικε δέρκομαι.

ἄπιε

ὀρέ. εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ἠλέ. ὦ ξεῖνε, δός νυν πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν.
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω, κἀποδύρωμαι σποδῷ.
ὀρέ. δόθ', ἥτις ἐστὶ προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε.
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
ἠλέ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ,
ψυχῆς Ὀρέστου λοιπόν. ὡς ἀπ' ἐλπίδων
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν.
δόμων δέ σ' ὦ παῖ λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα τοῖνδε, κἀνασώσασθαι φόνου.
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων, κἀπὶ γῆς ἄλλης φυγὰς,
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα.
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ', οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην ὡς εἰκὸς ἄθλιον βάρος.
ἀλλ' ἐν ξένῃσι χερσὶ κηδευθεὶς τάλας,
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.

οἴμοι

οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος.
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός,
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ.
τέθνηκ' ἐγὼ σοι. φροῦδος αὐτὸς εἶ θανών.
γελῶσι δ' ἐχθροί. μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ. ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε, κἀμὸς, ἐξαφείλετο.
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ. φεῦ.
ὦ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους φίλταθ', ὥς μ' ἀπώλεσας.
ἀπώλεσας δῆτ' ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν, εἰς τὸ μηδέν. ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων. καὶ νῦν ποθῶ

τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
„ τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
χο θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει.
θνητὸς δ' Ὀρέστης. ὥστε μὴ λίαν στένε.
„ Πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ὀρέ φεῦ. φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
ἠλέ τί δ' ἔσχες ἄλγος, πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ὀρέ ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ἠλέ τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ὀρέ οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ἠλέ τί δή ποτ' ὦ ξέν' ἀμφ' ἐμοὶ στένεις τάδε;
ὀρέ ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ἠλέ οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς ξένε.
ὀρέ φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ἠλέ τί δή ποτ' ὦ ξέν' ὧδ' ἐπισκοπῶν στένεις;
ὀρέ ὡς οὐκ ἄρ' ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
ἠλέ ἐν τῷ, διέγνως τοῦτο τῶν εἰρημένων;
ὀρέ ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ἠλέ καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ὀρέ καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ἠλέ ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ὀρέ τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ἠλέ τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ὀρέ τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ἠλέ μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.

περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.
ὀρέ. ὅρα γε μὲν δή, κἂν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν. εὖ δ' ἔξοισθα πειραθεῖσά που.
ἠλέ. ὀττοτοῖ
ἀνέφελον ἐπέβαλες,
οὔποτε καταλύσιμον,
οὐδέποτε λησόμενον
ἁμέτερον
οἷον ἔφυ κακόν.
ὀρέ. ἔξοιδα καὶ ταῦτ'. ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
ἠλέ. ὁ πᾶς ἐμοὶ
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκαια χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.
ὀρέ. ξύμφημι κἀγώ. τοιγαροῦν σῶζε τόδε.
ἠλέ. τί δρῶσα;
ὀρέ. οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.
ἠλέ. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων,
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.
ὀρέ. τότ' εἶδες, ὅτε θεοί μ' ὤτρυναν μολεῖν.
ἠλέ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπόρσεν

ἁμέτε-

ἁμέτερα πρὸς μέλαθρα,
δαιμόνιον
αὐτὸ τίθημ' ἐγώ.
ὀρέ. τὰ μὲν, σ' ὀκνῶ χαίρουσαν εἰργάθειν. τὸ δὲ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ἠλέ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με πολύπονον ὧδ' ἰδών.
ὀρέ. τί μὴ ποιήσω;
ἠλέ. μή μ' ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ὀρέ. ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ἠλέ. ξυναινεῖς;
ὀρέ. τί μὴν οὔ;
ἠλέ. ὦ φίλαι, ἔκλυον ἂν
ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδάν.
ἔχον ὀργὰν ἄναυδον.
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ' ἔχω σε. προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἇς ἐγὼ οὐδ' ἂν ἐν κακοῖς λαθοίμαν.
ὀρέ. τὰ μὲν περισσεύοντα τῶν λόγων, ἄφες.
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ. τὰ δ' ἐκχεῖ. τὰ δὲ, διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τὴν νῦν ὁδόν.
οὕτως δ' ὅπως μήτηρ σε μὴ 'πιγνώσεται,
φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους.
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,
στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.

ἠλέ. ἀλλ' ὦ κασίγνηθ' ὧδ', ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ'. ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ,
αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίμην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε. πῶς γὰρ οὔ; κλύων
ὅθ' οὕνεκ' Αἴγισθος μὲν, οὐ κατὰ στέγας.
μήτηρ δ' ἐν οἴκοις. ἣν σὺ μὴ δείσῃς ποθ', ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι.
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾷ
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε,
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτὸ, πιστεύειν δ' ὁρᾶν,
ὅτ' οὖν τοιαύτην ἡμῖν ἐξήκεις ὁδόν,

ἀρχ' αὐτὸς, ὥς σοι θυμός. ὡς ἐγὼ μόνη,
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.

ὀρέ σιγᾶν ἐπήνεσ', ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος.

ἠλέ εἴσιτ' ὦ ξένοι.
ἄλλως τε καὶ φέροντες, οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.

παι ὦ πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής;
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες, οὐ γινώσκετε.
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν, ἢ τὰ σώματα.
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων,
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔσθ', ἀπηλλάχθαι δ' ἀκμή.

ὀρέ πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;

παι καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναι τινά.

ὀρέ ἤγγειλας ὡς ἔοικεν ὡς τεθνηκότα.

παι εἷς τῶν ἐν ᾅδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.

ὀρέ χαίρουσιν οὖν τούτοισιν, ἢ τίνες λόγοι.

παι τελουμένων ἄποιμ' ἄν. ὡς δ' ἐνῦν ἔχει,
καλῶς τὰ κείνων πάντα καὶ τὰ μὴ καλῶς.
ἠλέ τίς οὗτός ἐστ' ἀδελφὲ, πρὸς θεῶν φράσον.
ὀρέ οὐχὶ ξυνίεις;
ἠλέ οὐδ' ἐς θυμὸν φέρω.
ὀρέ οὐκ οἶδ' ὅτῳ μ' ἔδωκας εἰς χεῖρας ποτέ;
ἠλέ ποίῳ; τί φωνεῖς;
ὀρέ οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθείᾳ χεροῖν.
ἠλέ ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ὀρέ ὅδ' εἰμί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ἠλέ ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἀμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα. πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες; οὐδ' ἔφαινες; ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ' ὦ πάτερ, πατέρα γὰρ εἰσορᾶν δοκῶ.
χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
παι ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους,
πολλαὶ κυκλοῦσι νύκτες, ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν Ἠλέκτρα σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι

νῦν

νῦν καιρὸς ἔρδειν. νῦν Κλυταιμνήστρα μόνη.
νῦν οὔτις ἀνδρῶν ἔνδον. εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι, τούτων πλείοσιν μαχούμενοι.
ὀρέ. οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων
Πυλάδη, τόδ' εἴη τοὔργον. ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοι περ πρόπυλα ναίουσιν τάδε.
ἠλέ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν. ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
νῦν δ' ὦ λύκει' Ἄπολλον ἐξ οἵων ἔχω,
αἰτῶ, προπίτνω. λίσσομαι. γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων.
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας, οἷα δωροῦνται θεοί.
χο. ἴδεθ' ὅπου προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες.
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμενεῖ
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδράσματα,
νεακό-

νεακόνητον αἷμα χεροῖν ἔχων.
ὁ Μαίας δὲ παῖς
Ἑρμῆς, ἐπάγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα κοὐκέτ' ἀμμένει.
ἠλέ. ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον. ἀλλὰ σῖγα πρόσμενε.
χο. πῶς δή; τί νῦν πράσσουσιν;
ἠλέ. ἡ μὲν, ἐς τάφον
λέβητα κοσμεῖ. τὼ δ' ἐφέστατον πέλας.
χο. σὺ δ' ἐκτὸς ᾖξας, πρὸς τί;
ἠλέ. φρουρήσουσ' ὅπως
Αἴγισθος μὴ λάθῃ μολὼν ἔσω.
κλυ. αἶ αἶ αἶ αἶ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέαι.
ἠλέ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ' ὦ φίλαι.
χο. ἤκουσ' ἀνήκουστα δύ-
στανος, ὥστε φρίξαι.
κλυ. οἴμοι τάλαιν'. Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς,
ἠλέ. ἰδοὺ μάλ' αὖ θροεῖ τις,
κλυ. ὦ τέκνον, ὦ τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν.
ἠλέ. ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος, οὔθ' ὁ γεννήσας πατήρ.
χο. ὦ πόλις, ὦ γενεὰ τάλαινα. νῦν σε
μοῖρα καθημερία φθίνει.
ὤμοι. πέπληγμαι.

ἠλέ. παῖσον, εἰ σθένεις, διπλῆν.

κλυ. ὤμοι μάλ' αὖθις.

ἠλέ. εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.

χο. τελοῦσ' ἀραί. ζῶσιν οἱ
γᾶς ὑποκείμενοι.
παλίρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.

ἠλέ. καὶ μὴν πάρεισιν οἵδε. φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος. οὐδ' ἔχω λέγειν
Ὀρέστα, πῶς κυρεῖ.

ὀρέ. τἀν δόμοισι μὲν,
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
τέθνηκεν ἡ τάλαινα. μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥστε σε λῆμμ' ἀτιμάσῃ ποτέ.

χο. παύσασθε. λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλου.

ἠλέ. ὦ παῖδες, οὐκ ἄψορρον;
εἰσορᾶτέ που
τὸν ἄνδρ' ἐφ' ὑμῖν;
οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθώς.

χο. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα.
νῦν τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.

ὀρέ. θάρσει. τελοῦμεν ᾗ νοεῖς.

ἠλέ. ἔπειγέ νυν.

ὀρέ. καὶ δὴ βέβηκα.

τάν-

οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος.
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφὸς,
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως, βέβηκας. οἴχεται πατήρ.
τέθνηκ' ἐγώ σοι. φροῦδος αὐτὸς εἶ θανών.
γελῶσι δ' ἐχθροί. μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ. ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε, κἀμὸς, ἐξαφείλετο.
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς, σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ. φεῦ.
ὦ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους φίλταθ', ὥς μ' ἀπώλεσας.
ἀπώλεσας δῆτ' ὦ κασίγνητον κάρα.
τοιγὰρ, σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν, ἐς τὸ μηδέν. ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων. καὶ νῦν ποθῶ

τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
„ τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
χο θνητοῦ πέφυκας πατρὸς Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης. ὥστε μὴ λίαν στένε.
„ Πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.
ὀρέ φεῦ. φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχάνων
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
ἠλέ τί δ' ἔσχες ἄλγος, πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ὀρέ ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ἠλέ τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ὀρέ οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ἠλέ τί δή ποτ' ὦ ξέν' ἀμφ' ἐμοὶ στένεις τάδε;
ὀρέ ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ἠλέ οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς ξένε.
ὀρέ φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ἠλέ τί δή ποτ' ὦ ξέν' ὧδ' ἐπισκοπῶν στένεις;
ὀρέ ὡς οὐκ ἄρ' ᾔδειν τῶν ἐμῶν οὐδὲν κακῶν.
ἠλέ ἐν τῷ, διέγνως τοῦτο τῶν εἰρημένων;
ὀρέ ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ἠλέ καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ὀρέ καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ἠλέ ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ὀρέ τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ἠλέ τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ὀρέ τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ἠλέ μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ.

ὀρέ τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βία;
ἠλέ κα χερσὶ, καὶ λύμαισι, καὶ πᾶσιν κακοῖς.
ὀρέ οὐδ' οὐ παρήξων, οὔθ' ὁ κωλύσων πάρα;
ἠλέ σὺ δῆθ'. ὃς ἦν γάρ μοι, σὺ προὔθηκας ἀποδόν.
ὀρέ ὦ δύσποτμ', ὡς ὀρθῶν σ' ἐποικτείρω πάλαι.
ἠλέ μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ὀρέ μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ἠλέ οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ὀρέ ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ἠλέ ἀλλ' ἔστιν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ὀρέ μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ἠλέ μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ ξένε.
ὀρέ πείθου λέγοντι, κοὐχ ἁμαρτήσῃ ποτέ.
ἠλέ μὴ πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ὀρέ οὔ φημ' ἐάσειν.
ἠλέ ὦ τάλαιν' ἐγὼ σέθεν
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ὀρέ εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.
ἠλέ πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ὀρέ οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ἠλέ οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ὀρέ ἄτιμος οὐδενὸς σύ, τοῦτο δ' οὐχὶ σόν.
ἠλέ εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
ὀρέ ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ἠλέ ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ὀρέ οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστι τάφος.

ἠλέ πῶς εἶπας ὦ παῖ;
ὀρέ ψεῦδος οὐδὲν, ὧν λέγω.
ἠλέ ἦ ζῇ γὰρ ἁνήρ;
ὀρέ εἴπερ ἔμψυχός γ' ἐγώ.
ἠλέ ἦ γὰρ σὺ κεῖνος;
ὀρέ τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς, ἔκμαθ' εἰ σαφῆ λέγω.
ἠλέ ὦ φίλτατον φῶς.
ὀρέ φίλτατον. συμμαρτυρῶ.
ἠλέ ὦ φθέγμ' ἀφίκου;
ὀρέ μηκέτ' ἄλλοθεν πύθῃ.
ἠλέ ἔχω σε χερσίν.
ὀρέ ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ἠλέ ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
χο ὁρῶμεν ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ἠλέ ἰὼ γοναὶ σωμάτων ἐμοὶ φιλτάτων.
ἐμόλετ' ἀρτίως.
ἐφεύρετ'. ἤλθετ'. εἴδεθ' οὓς ἐχρῄζετε.
ὀρέ πάρεσμεν. ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ἠλέ τί δ' ἔστιν;
ὀρέ σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ἠλέ ἀλλ' οὐ μὰ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν,
τόδε μὲν οὔποτ' ἀξιώσω τρέσαι,

ἄθλιον ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.

ὀρέ. ὅρα γε μὲν δὴ, κἀν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν. εὖ δ' ἔξοισθα πειραθεῖσά που.

ἠλέ. ὀτοτοτοῖ
ἀνέφελον ἐπέβαλες,
οὔποτε καταλύσιμον,
οὐδέποτε λησόμενον
ἁμέτερον
οἷον ἔφυ κακόν.

ὀρέ. ἔξοιδα καὶ ταῦτ'. ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ἠλέ. ὁ πᾶς ἐμοὶ
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκαια χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ὀρέ. ξύμφημι κἀγώ. τοιγαροῦν σῴζου τόδε.

ἠλέ. τί δρῶσα;

ὀρέ. οὗ μή 'στι καιρὸς, μὴ μακρὰν βούλου λέγειν.

ἠλέ. τίς οὖν ἂν ἀξίαν γε σοῦ πεφηνότος
μεταβάλοιτ' ἂν ὧδε σιγὰν λόγων,
ἐπεί σε νῦν ἀφράστως
ἀέλπτως τ' ἐσεῖδον.

ὀρέ. τότ' εἶδες, ὅτε θεοί μ' ὤτρυναν μολεῖν.

ἠλέ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος,
εἴ σε θεὸς ἐπόρσεν

ἁμέτε-

ἀμέτερα πρὸς μέλαθρα,
δαιμόνιον
αὐτὸ τίθημ᾽ ἐγώ.
ὀρέ τὰ μέν, σ᾽ ὀκνῶ χαίρουσαν εἰργάθειν. τὰ δὲ,
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ἠλέ ἰὼ χρόνῳ μακρῷ φιλτάταν ὁδὸν
ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με πολύπονον ὧδ᾽ ἰδών.
ὀρέ τί μὴ ποιήσω;
ἠλέ μή μ᾽ ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.
ὀρέ ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ἠλέ ξυναινεῖς;
ὀρέ τί μὴν οὔ;
ἠλέ ὦ φίλαι, ἔκλυον ἂν
ἐγὼ οὐδ᾽ ἂν ἤλπισ᾽ αὐδάν.
ἔχον ὀργὰν ἄναυδον.
οὐδὲ σὺν βοᾷ κλύουσα τάλαινα.
νῦν δ᾽ ἔχω σε. προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἇς ἐγὼ οὐδ᾽ ἂν ἐν κακοῖς λαθοίμαν.
ὀρέ τὰ μὲν περισσεύοντα τῶν λόγων, ἄφες.
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
μήθ᾽ ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ. τὰ δ᾽ ἐκχεῖ. τὰ δὲ, διασπείρει μάτην.
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ,
σήμαιν', ὅπου φανέντες, ἢ κεκρυμμένοι,
γελῶντας ἐχθροὺς παύσομεν τὴν νῦν ὁδόν.
οὕτως δ' ὅπως μήτηρ σε μὴ 'πιγνώσεται,
φαιδρῷ προσώπῳ, νῷν ἐπελθόντοιν δόμους.
ἀλλ' ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ,
στέναζ'. ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.
ἠλέ. ἀλλ' ὦ κασίγνηθ' ὧδ', ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ'. ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην
κοὐδ' ἄν σε λυπήσασα βουλοίμην βραχὺ,
αὐτὴ μέγ' εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ' οἶσθα μὲν τἀνθένδε. πῶς γὰρ οὔ; κλύων
ὅθ' οὕνεκ' Αἴγισθος μὲν, οὐ κατὰ στέγας.
μήτηρ δ' ἐν οἴκοις. ἣν σὺ μὴ δείσῃς ποθ', ὡς
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι.
κἀπεί σ' ἐσεῖδον, οὔ ποτ' ἐκλήξω χαρᾶς
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ' ἐγὼ,
ἥτις μιᾷ σε τῇδ' ὁδῷ θανόντα τε,
καὶ ζῶντ' ἐσεῖδον; εἴργασαι δέ μ' ἄσκοπα.
ὥστ' εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ' ἂν
τέρας νομίζειν αὐτὸ, πιστεύειν δ' ὁρᾶν,
ὅτ' οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδὸν,

ἄρχ'

ἀρχ' αὐτὸς, ὥς σοι θυμός. ὡς ἐγὼ μόνη,
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ' ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.
ὀρέ σιγᾶν ἐπῄνεσ', ὡς ἐπ' ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος.
ἠλέ εἴσιτ' ὦ ξένοι.
ἄλλως τε καὶ φέροντες, οἷ' ἂν οὔτε τις
δόμων ἀπώσαιτ', οὔτ' ἂν ἡσθείη λαβών.
παι ὦ πλεῖστα μῶροι, καὶ φρενῶν τητώμενοι,
πότερα παρ' οὐδὲν τοῦ βίου κήδεσθ' ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενής;
ὅτ' οὐ παρ' αὐτοῖς, ἀλλ' ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες, οὐ γινώσκετε.
ἀλλ' εἰ σταθμοῖσι τοῖσδε μὴ 'κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμῖν ἐν δόμοις
τὰ δρώμεν' ὑμῶν πρόσθεν, ἢ τὰ σώματα.
νῦν δ' εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων,
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς,
εἴσω παρέλθεθ', ὡς τὸ μὲν μέλλειν, κακὸν
ἐν τοῖς τοιούτοις ἔστ', ἀπηλλάχθαι δ' ἀκμή.
ὀρέ πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
παι καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναι τινά.
ὀρέ ἤγγειλας ὡς ἔοικεν ὡς τεθνηκότα.
παι εἷς τῶν ἐν ᾅδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ὀρέ χαίρουσιν οὖν τούτοισιν, ἢ τίνες λόγοι.

παι τελουμένων ἄποιμ' ἄν. ὡς δὲ νῦν ἔχει,
 καλῶς τὰ κείνων πάντα καὶ τὰ μὴ καλῶς.
ἠλέ τίς οὗτός ἐστ' ἀδελφὲ, πρὸς θεῶν φράσον.
ὀρέ οὐχὶ ξυνίεις;
ἠλέ οὐδ' ἐς θυμὸν φέρω.
ὀρέ οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χεῖρας ποτέ;
ἠλέ ποίῳ; τί φωνεῖς;
ὀρέ οὗ τὸ Φωκέων πέδον
 ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ἠλέ ἦ κεῖνος οὗτος, ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
 μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ὀρέ ὅδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ἠλέ ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
 Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
 ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
 ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
 ποδῶν ὑπηρέτημα. πῶς οὕτω πάλαι
 ξυνών μ' ἔληθες; οὐδ' ἔφαινες; ἀλλά με
 λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
 χαῖρ' ὦ πάτερ, πατέρα γὰρ εἰσορᾶν δοκῶ.
 χαῖρ'. ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
 ἤχθηρα, κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
παι ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους,
 πολλαὶ κυκλοῦσι νύκτες, ἡμέραι τ' ἴσαι,
 αἳ ταῦτά σοι δείξουσιν Ἠλέκτρα σαφῆ.
 σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν, ὅτι

νῦν καιρὸς ἔρδειν. νῦν Κλυταιμνήστρα μόνη.
νῦν οὔτις ἀνδρῶν ἔνδον. εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι, τούτων πλείοσιν μαχούμενοι.
ὀρέ. οὐκ ἂν μακρῶν ἔθ' ἡμῖν οὐδὲν ἂν λόγων
Πυλάδη, τόδ' εἴη τοὔργον. ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοι περ πρόπυλα ναίουσιν τάδε.
ἠλέ. ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν. ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερί.
νῦν δ' ὦ λύκει' Ἄπολλον ἐξ οἵων ἔχω,
αἰτῶ, προπίτνω. λίσσομαι. γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων.
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας, οἷα δωροῦνται θεοί.
χο. ἴδεθ' ὅπου προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες.
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμενεῖ
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον,
παράγεται γὰρ ἐνέρων
δολιόπους ἀρωγὸς εἴσω στέγας
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδράσματα,

νεακό-

νεακόνητον αἷμα χεροῖν ἔχων.
ὁ Μαίας δὲ παῖς
Ἑρμῆς, ἐπάγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα κοὐκέτ᾽ ἀμμένει.

ἠλέ ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον. ἀλλὰ σῖγα πρόσμενε.

χο πῶς δή; τί νῦν πράσσουσιν;

ἠλέ ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ. τὼ δ᾽ ἐφέστατον πέλας.

χο σὺ δ᾽ ἐκτὸς ἦξας, πρὸς τί;

ἠλέ φρουρήσουσ᾽ ὅπως
Αἴγισθος μὴ λάθῃ μολὼν ἔσω.

κλυ αἲ αἲ αἲ αἲ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ᾽ ἀπολλύντων πλέαι.

ἠλέ βοᾷ τις ἔνδον. οὐκ ἀκούετ᾽ ὦ φίλαι.

χο ἤκουσ᾽ ἀνήκουστα δύ-
στανος, ὥστε φρῖξαι.

κλυ οἴμοι τάλαιν᾽. Αἴγισθε, ποῦ ποτ᾽ ὢν κυρεῖς,

ἠλέ ἰδοὺ μάλ᾽ αὖ θροεῖ τις,

κλυ ὦ τέκνον, ὦ τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν.

ἠλέ ἀλλ᾽ οὐκ ἐκ σέθεν
ᾠκτίρεθ᾽ οὗτος, οὐθ᾽ ὁ γεννήσας πατήρ.

χο ὦ πόλις, ὦ γενεὰ τάλαινα. νῦν σε
μοῖρα καθημερία φθίνει.

κλυ ὤμοι. πέπληγμαι.

παῖσον

ἠλέ παῖσον εἰ σθένεις διπλῆν,
κλυ ὤμοι μάλ' αὖθις.
ἠλέ εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
χο τελοῦσιν ἀραί. ζῶσιν οἱ
γᾶς ὑποκείμενοι.
πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
ἠλέ καὶ μὴν πάρεισιν οἵδε. φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος. οὐδ' ἔχω λέγειν
Ὀρέστα, πῶς κυρεῖ.
ὀρέ τἀν δόμοισι μὲν,
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισε.
τέθνηκεν ἡ τάλαινα. μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥστε σε λῆμμ' ἀτιμάσῃ ποτέ.
χο παύσασθε. λεύσσω γὰρ
Αἴγισθον ἐκ προδήλου.
ἠλέ ὦ παῖδες, οὐκ ἄψορρον;
εἰσορᾶτέ που
τὸν ἄνδρ' ἐφ' ὑμῖν;
οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθώς.
χο βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα.
νῦν τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.
ὀρέ θάρσει. τελοῦμεν ἣ νοεῖς.
ἠλέ ἔπειγε νῦν.
ὀρέ καὶ δὴ βέβηκα.

ἠλέ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
δι' ὠτὸς ἂν παῦρά γ' ὡς
ἠπίως ἐνέπειν,
πρὸς ἄνδρα τόνδε συμφέρει
λαθραῖον ὡς ὀρούσῃ πρὸς
δίκας ἀγῶνα.

αἴγι. τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ Φωκεῖς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι σὲ κρίνω. καὶ σὲ τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν, ὡς μάλιστά σοι μέλειν
οἶμαι. μάλιστα δ' ἂν κατ' εἰδυῖα φράσαι.

ἠλέ. ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.

αἴγι. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.

ἠλέ. ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.

αἴγι. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;

ἠλέ. οὐκ. ἀλλὰ κἀπέδειξαν οὐ λόγῳ μόνον.

αἴγι. πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν;

ἠλέ. πάρεστι δῆτα, καὶ μάλ' ἄζηλος θέα.

αἴγι. ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.

ἠλέ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.

αἴγι. σιγᾶν ἄνωγα, κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν, Ἀργείοις θ' ὁρᾶν.
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος

ἐξῄ-

ἐξήρετ', ἀνδρὸς τοῦδε νῦν ὁρῶν νεκρὸν,
στόμια δέχηται τἀμά. μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν, φύσῃ φρένας.
ἠλέ καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ,
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείττοσιν.
αἰγι ὦ ζεῦ, δέδορκα φάσμ', ἄνευ φθόνου μὲν οὐ
πεπτωκός. εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ὀρέ αὐτὸς σὺ βάσταζ', οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν
τὸ ταῦθ' ὁρᾶν τε, καὶ προσηγορεῖν φίλος.
αἰγι ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι. σὺ δὲ
εἴ πού κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ὀρέ αὕτη πέλας σοῦ. μηκέτ' ἄλλοσε σκόπει.
αἰγι οἴμοι. τί λεύσσω;
ὀρέ τίνα φοβῇ; τίν' ἀγνοεῖς;
αἰγι τίνων πότ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων.
ὀρέ οὐ γὰρ αἰσθάνῃ πάλαι
ζῶν τοῖς θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
αἰγι οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
ὀρέ Καὶ μάντις ὢν ἄριστος, ἐσφάλου πάλαι.
αἰγι ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες

κἂν

κἂν σμικρὸν εἰπεῖν.

ἠλέ μὴ πέρα λέγειν ἔα

πρὸς θεῶν ἀδελφὲ, μὴ δὲ μηκύνειν λόγους.

„ Τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων

„ Θνήσκειν ὁ μέλλων, τοῦ χρόνου κέρδος φέροι;

ἀλλ' ὡς τάχιστα κτεῖνε. καὶ κτανὼν, πρόθες

ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστιν τυγχάνειν.

ἄποπτον ἡμῶν ὡς ἐμοὶ τόδ' ἂν κακῶν

μόνον γένοιτο τῶν πάλαι λυτήριον.

ὀρέ χωροῖς ἂν εἴσω σὺν τάχει. λόγων γὰρ οὐ

νῦν ἐστὶν ἀγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.

αἴγι τί δ' ἐς δόμους ἄγεις με; πῶς τόδ' εἰ καλὸν

τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;

ὀρέ μὴ τάσσε. χώρει δ' ἔνθαπερ κατέκτανες

πατέρα τὸν ἁμὸν, ὡς ἐν ταὐτῷ θάνῃς.

αἴγι ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν,

τά τ' ὄντα, καὶ μέλλοντα Πελοπιδῶν κακά.

ὀρέ τὰ γοῦν σ', ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.

αἴγι ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.

ὀρέ πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.

ἀλλ' ἕρφ'.

αἴγι ὑφηγοῦ.

ὀρέ σοὶ βαδιστέον πάρος.

αἴγι ἦ μὴ φύγω σε.

ὀρέ μὴ μὲν οὖν καθ' ἡδονὴν

θάνῃς.

θάνης. φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
,, Χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
,, Οστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
,, Κτείνειν. τὸ γὰρ πανοῦργον, οὐκ ἂν ἦν πολύ.
χο. ὦ σπέρμ' ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες,
τῇ νῦν ὁρμῇ
τελεωθέν.

ΤΕΛΟΣ ΕΛΕΚΤΡΑΣ.

Ἀγαθίου.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
Τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίνεται. οὐδέποτ᾽ αὐτὸν
Εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον.
Αἱ δὲ νόσοι πολλαὶ, καὶ ποικίλαι ἄλλοτ᾽ ἐπ᾽ ἄλλον
Ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

Παλλαδᾶ.

Σῶμα, πάθος ψυχῆς, ᾅδης, μοῖρ᾽, ἄχθος, ἀνάγκη,
Καὶ δεσμὸς κρατερὸς, καὶ κόλασις βασάνων.
Ἀλλ᾽ ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
Τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

Ἄδηλον.

Χαίρει τις Θεόδωρος ἐπεὶ θάνον. ἄλλος ἐπ᾽ αὐτῷ
Χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

Ἀββιανοῦ.

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται. εἶτ᾽ ἀμελούντων
Ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος.
Καὶ τοὺς μὲν τήξας, τοὺς δ᾽ ὀπτήσας, ἑτέρους δὲ
Φυσήσας ἄξει πάντας ἐς ἓν βάραθρον.

Ἄδηλον.

Εἰς ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ᾽ ἀπ᾽ Ἀθηνῶν
Στείχοις, εἴτε νέκυς νίσεαι ἐκ Μερόης.
Μὴ σέ γ᾽ ἀνιάτω πάτρης ἀπὸ τῆλε θανόντα·
Πάντοθεν εἷς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.

Παλλαδᾶ.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φύσις, ἀλλὰ καὶ αὐτὸν
Καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
Τοῦ δ' ὁ τυραννήσας Διονύσιος Ηρακλείας
Τῆς ἐν τῷ πόντῳ μάρτυς, ὁ τοῦτο παθών.

Α'δηλον.

Πρὔλαβον, ἀλλὰ μὲν ὦ σε. μικρὸς δέ τ' καὶ σύ τιν' ἄλλον
Πάντας ὁμῶς θνητοὺς εἰς αἴδης δέχεται.

Α'δηλον.

Γῆ μὲν, καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
Καὶ νέκυν οὐ κείνης ἥδε χερειοτέρη.
Ε'σσομαι ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μητρὸς
Η'ρπασεν ἠελίου καῦμα τὸ θερμότατον.
Κεῖμαι δὲ ξείνη ὑπὸ χερμάδι, μακρὰ γοηθεὶς,
Γ'νάχος εὐπειθὴς Κειναγόρου θεράπων.

ΕΙΣ ΙΑΤΡΟΥΣ ΝΙΚΟΜΗΔΟΥΣ οἱ δὲ Βάσσου.

Εἰς Ι'πποκράτην.

Α'ντιστρέφον.

Ι'πποκράτης φάος ἦν μερόπων, καὶ σώετο λαῶν
Εθνεα, καὶ νεκύων ἦν σπανίς εἰν αἴδῃ.

Α'ντιστρέφον.

Εἰν αἴδῃ σπανίς ἦν νεκύων, καὶ ἔθνεα λαῶν
Σώετο, καὶ μερόπων ἦν φάος Ι'πποκράτης.

Λουκιλλίου.

Μάγνον ὅτ᾽ εἰς ἀΐδην κατέβη, τρομέων Ἀϊδωνεὺς
  Εἶπεν, ἀναστήσων ἤλυθε καὶ νεκύας.

Τοῦ αὐτοῦ εἰς ἀεὶ νοσοῦντας.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
  Τοὺς δ᾽ ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

Εἰς ἰχθύας.

Ἀντιπάτρου Θεσσαλοῦ.

Πουλυπος εἰναλίην πότ᾽ ἐπὶ προβλῆτι τανυσθεὶς
  Ἠελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα.
Οὔπω δ᾽ ἦν πέτρῃ ἴκελος χρόα· τοὔνεκα καί μιν
  Αἰετὸς ἐκ νεφέων ὀξὺ ἔμαρψεν ἰδών.
Πλοχμοῖς δ᾽ εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος. ἦρα
  Ἄμφω, καὶ θήρης ἤμβροτε καὶ βιότου.

Εἰς ἀγῶνας.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν᾽ Ἑλλάδα. τέσσαρες ἱροί.
  Οἱ δύο μὲν θνητῶν, οἱ δύο δ᾽ ἀθανάτων.
Ζηνὸς, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
  Ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

Ἀντιπάτρου εἰς Ἀρίαν.

Ὁ σταδιεὺς Ἀρίης ὁ Μενεκλέος οὐ κατελέγχει
  Περσέα τὸν κτίστην, Ταρσὲ Κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες, οὐδ᾽ ἂν ἐκείνῳ
  Οὐδ᾽ αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.
Ἢ γὰρ ἐφ᾽ ὑσπλήγγων, ἢ τέρματος εἶδέ τις ἄκρου
  Ἤϊθεον, μέσσῳ δ᾽ οὔποτ᾽ ἐνὶ σταδίῳ.

Εἰς ἄμπελον. Φιλίππου.

Τίς σε πάγος δυσέρημος, ἀνήλιον ἐξέθρεψεν,
Ἢ βορέης σκυθίης ἄμπελον ἀγριάδα,
Ἢ κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες ἄλπεις,
Τῆς τε σιδηροτόκου, βῶλος ἰβηριάδος;
Ἢ τοὺς ὀμφακοεργὰς ἐγείναο τοὺς ἀπεπάντους
Βότρυας, οἳ στυφλὴν ἐξέχεον σταγόνα.
Δίζημαι Λυκόεργε τεὰς χέρας. ὡς ἀπὸ ῥίζης
Κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσῃς.

Ἄδηλον.

Τίς ποτ᾽ ἀκηδέστως οἰνοτρόφον ὄμφακα Βάκχου
Ἀνὴρ ἀμπελίνου κλήματος ἐξέταμε;
Χείλεα δὲ στυφθεὶς, ἀπό μιν βάλεν, ὡς ἂν ὁδίταις
Εἴη νισσομένοις ἡμιδαὲς σκύβαλον.
Εἴη οἱ Διόνυσος ἀνάρσιος, οἷα Λυκούργῳ,
Ὅττι μιν αὐξομένην ἔσβεσεν εὐφροσύνας.
Τοῦδε γὰρ αὖ τάχα τις διὰ πώματος, ἢ πρὸς ἀοιδὰς
Ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.

Εἰς ἀναθήματα Λεωνίδου.

Οὐκ ἐμὰ ταῦτα λάφυρα. τίς ὁ θριγκοῖσιν ἀνάψας
Ἄρεος ταύτην τὰν ἄχαριν χάριτα;
Ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
Ἀσπίδες, ἄκλαστοι δ᾽ αἱ κλαδαραὶ κάμακες.
Αἰδοῖ πάντα πρόσωπ᾽ ἐρυθαίνομαι. ἐκ δὲ μετώπου
Ἱδρὼς πηδύων στῆθος ἐπιστάλαγ᾽.
Πασάδα τις τοιοῖσδε, καὶ ἀνδρῶνα, καὶ αὐλὰν
Κοσ-

Κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον.
Ἄρεως δ' αἱματόεντα διαξίφιοιο λάφυρα
Νηὸν κοσμείτω. τοῖς γὰρ ἀρεσκόμεθα.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Τίς θέτο μαρμαίροντα βοάγρια, τίς δ' ἀφόρυκτα
Δούρατα, καὶ ταύτας ἀρραγέας κόρυθας,
Ἀγκρεμάσας ἄρηι μιάστορι κόσμον ἄκοσμον;
Οὐκ ἀπ' ἐμῶν ῥίψῃ ταῦτά τις ὅπλα δόμων;
Ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι πρεάμνοις
Κεῖσθαι, οὐ θριγκῶν ἐντὸς ἐνυαλίου.
σκῦλά μοι ἀμφίδρυπτα, καὶ ὀλλυμένων ἅδε λύθρος
Ἀνδρῶν, εἴπερ ἔφυν ὁ βροτολοιγὸς Ἄρης.

Εἴς τινα θανόντα ὑπὸ πλησμονῆς
Περσικῶν μήλων.

Ἐκ φονίων περσῶν φόνιον φυτὸν ἤγαγε Περσεὺς
Παιδὶ θεογνώστου τοῦ θανάτου πρόφασιν.

Ἄδηλον.

Δάφναις, καὶ μύρτοισι, καὶ εὐώδει κυπαρίσσῳ
Ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Ἄμπελος. εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλόγραυλα μέλη.
Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσι
Μέλποισαι στόμασιν τὰν μελίγηρυν ὄπα.

Ἄδηλον.

Ἵζευ ἅπας ὑπὸ τῆσδε δάφνης εὐθαλέα φύλλα
Ὠρέου τ' ἄφυσσαι νάματος ἡδὺ πόμα.

Ὄφρα τοι ἀνθ' μαίνοντα πόνοις θέρεος φίλα γυῖα
Ἀμπαύσῃς τοίῃ τυπτόμενα ζεφύρου.

Εἰς δικαιοσύνην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἤθελε μὲν βασιλεύς σε βοηθόον εἰσέτι πέμπειν
Ἄστεσι τειρομένοις δυομένων μερόπων
Τιπαιὲ χρύσιε. σὺ δ' ἐν βιότοιο γαλήνῃ
Πατρίδα, καὶ κλῆρον σὸν προβέβουλας ἔχειν
Αὔξων σῶν προγόνων κτέρας ἔνδικον. ἀρχομένων γὰρ
Πλοῦτον ὅτι στυγέεις, σύνθρονος εἶδε δίκη.

Λεωνίδου εἰς τραπεζίτην Καΐκον διασυρτικόν.

Ἀστοῖς, καὶ ξένοισιν ἴσον νέμει ἅδε τράπεζα.
Θεὶς ἀνελεῦ, ψήφου πρὸς λόγον ἀρχομένης.
Ἄλλος τις πρόφασιν λεγέτω. τὰ δ' ὀθνεῖα Καΐκος
Χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

Ἄδηλον.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν
Εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου.
Δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε
Κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
Ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
Πρόσσε γλυκεροῦ βλέμματος ἀφανίσας.
Καὶ πάλιν εἰς ἀΐδην ἐκολάζετο. τὴν ἰδίην δὲ
Ἔκλαυσεν χερῶν εὔστοχον ἀφροσύνην.

Ἀρχίου.

Ἐν ποτὲ πομφύνοντι μελάντερος αἰθέει νωμῶν

Σκορ-

Σκορπίον ἐκ γαίης εἶδε θορόντα κόραξ.
Ον μάρψων ὥρουσεν. ὃ δ' ἀΐξαντος ἐπ' οὖδας
Οὐ βραδὺς ἐν κέντρῳ πέζαν ἔτυψε βίῃ,
Καὶ ζωῆς μιν ἄμερσεν. ἴδ' ὅσον ἐτεύχεν ἐπ' ἄλλῳ
Ἐκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

Βιάνορος.

Ιχθύσι, καὶ ποταμῷ Κλειτώνυμον ἰχθύες ὅμιλος
Ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
Ἀλλὰ δίκα μιν ἔθαψεν. ἀποσπασθεῖσα γὰρ ὄχθη
Πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν.
Κεῖται δ' οὐχ ὕδασιν διάβροχος. αἰδομένα δὲ
Γᾶ κεύθει τὸν ἑαῖς ὅρμον ἐλευθερίας.

Εἰς δυσπραγίαν. Φιλίππου.

Ἕβρου θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ
Νήπιος ἐκβαίνων οὐκ ἔφυγεν θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν
Κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας. ἡ δὲ μένουσα
Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύσμορος, ἧς ὠδῖνα διείλετο πῦρ τε καὶ ὕδωρ.
Ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐστιν ὅλος.

Ἀντιπάτρου.

Εἶχεν Ἀριστείδης ὁ βοηκέρριος οὐκ ἀπὸ πολλῶν
Πολλά, μιῆς δ' ὄϊος, καὶ βοὸς ἀπορίην.
Ἀλλὰ γὰρ οὐδ' ὁ πένης ἔφυγε φθόνον. ἤματι δ' αὐτῷ
Θῆρες ὄϊν, τὴν βοῦν δ' ὤλεσε δυστοκίη.

Μισήσας δ᾽ ἀβληχὲς ἐπαύλιον ἅμματι πήρης.
Ἐκ ταύτης βιοτὴν ἀχράδος ἐκρέμασεν.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Πλοῦτος Ἀριστείδῃ δάμαλις μία, καὶ ξιχέμαλλος
Ἦν ὄϊς, ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
Ἤμβροτε δ᾽ ἀμφοτέρων. ἀμνὴν λύκος ἔκτανεν· ὠ-
Τὴν δάμαλιν, πενίης δ᾽ ὤλετο βουκόλιον. (δὶς
Πηροδέτῳ δ᾽ ὅγ᾽ ἱμάντι κατ᾽ αὐχένος ἅμμα λυγώ-
Οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ. (σας

Ἀπολλωνίδου.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε κρυώδεις
Πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες
Δείλαιαι ποταμοῖσιν ἐφώρμισαν ἠπίσι χρησαῖς
Χλιῆναι νοτεροῖς ἄσθμασιν ὠκὺ γόνυ.
Τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἀθρόον ἄφνω
Χειμερίῃ ξυνεροῦ δῆσε πάγοιο πέδῃ
Πληθὺς δ᾽ ἀγροτέρων ἀλίνου θοινήσατο θήρης
Ἣ φύγεν ἀρπεδόνην πολλάκι, καὶ στάλικας.

Εἰς ἔλεον. Φιλίππου.

Καὶ τὸν ἀρουραῖον γυντόμον αὔλακα τέμνει
Μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις
Καὶ μετ᾽ ἀροτρευπένου ζεύγλας πάλι τῷ νεοθηλεῖ
Πινομένη μόσχῳ δεύτερον ἄλγος ἔχει.
Μὴ θλίψῃς αὐτήν, ὁ γεωμόρος ὠδίς ὁ βουὸς
Μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

Ἄδη.

Ἄδηλον.

Ἐλπὶς, καὶ σὺ τύχη μέγα χαίρετε. τὴν ὁδὸν εὗρον
Οὐκέτι γὰρ σφετέροις ἐπιτέρπομαι. ἔρρετε ἄμφω,
Οὕνεκεν ἐν μερόπεσιν πολυπλανέες μάλα ἐστέ.
Ὅσα γὰρ ἀτρεκέως οὐκ ἔσεται ὔμμες ἐν ἡμῖν
Φάσματα ὡς ἐν ὕπνῳ ἐμβάλλετε οἷά τ' ἐόντα.
Ἔρρε κακὴ γλήνη πολυώδυνε. ἔρρετε ἄμφω
Παίζοιτε, στροφέοιτε ὅσους ἐμεῦ ὕστερον ὄντας
Εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

Μακεδονίου ὑπάτου.

Εἰ βίον ἐν μερόπεσι τύχης παίζομαι ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
Παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' ἄρ οἶδα καὶ αὐτὸς
Θνητὸς ἐών. δολιχαῖς δ' ἐλπίσι παιζόμενος.
Αὐτὸς ἑκόντι γέγηθα πλανώμενος. οὐδὲ χρυσοίμην
Εἰς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
Τὴν γὰρ Ἀνακρείοντος ἐπὶ πραπίδεσσι φυλάσσω
Παρφασίην, ὅτι δεῖ φροντίδα μὴ κατέχειν.

Ἔπαινοι. Ἄδηλον.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
Ἔγραφε ποιμαίνων, ὡς λόγος, Ἡσίοδος.
Μῆνιν ἄειδε θεὰ, καὶ ἄνδρα μοι ἔννεπε μοῦσα
Εἶπεν Ὁμηρείῳ Καλλιόπη στόματι.
Κἀμὲ δὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω
Δεύτερον ἐκδιδόναι βιβλίον ἀρχόμενος;
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς, οὐκ ἂν ἐσώθην

Εἰ

Εἰ μή μοι Καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

Ἄδηλον.

Ἐσθλὰ λέγειν αἰεὶ πάντας καλόν. αἰσχρὰ δὲ δεινὸν
Κἂν ὦσιν τούτων ἄξιοι, ὧν λέγομεν.

Εἰς ἀναπήρους. Φιλίππου. οἱ δὲ Ἰσιδώρου.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ' ἄρ' ὄμμασιν. ἀμφότεροι δὲ
Εἰς αὑτοὺς τὸ τύχης ἐνδεὲς ἥρμοσαν.
Τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων
Ταῖς κείνου φωναῖς ἀτραπὸν ὀρθοβατεῖ.
Πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
Ἀλλήλοις μερίσαι τοὐλλιπὲς εἰς ἔλεον.

Εἰς τὸ αὐτό. Πλάτωνος νεωτέρου.

Ἀνέρα τις λιπόγυιος ὑπὲρ νώτοιο λιπαυγῆ
Ἦγε πόδας χρήσας, ὄμματα χρησάμενος.

Ἀντιφίλου. εἰς τὸ αὐτό.

Ἄμφω μὲν πηροί, καὶ ἀλήμονες. ἀλλ' ὁ μὲν ὄψεις
Ὃς δὲ βάσεις. ἄλλου δ' ἄλλος ὑπηρεσίη.
Τυφλὸς γὰρ χωλοῖο κατωμάδιον βάρος ἄρας
Ἀτραπὸν ὀθνείοις ὄμμασιν ἀκροβατεῖ.
Ἡ μία δ' ἀμφοτέροις ἤρκει φύσις. ἐν γὰρ ἑκάστῳ
Τοὐλλιπὲς ἀλλήλοις εἰς ὅλον ἥρμοσαν,

Εἰς ἀνδρίαν, καὶ ἀνδρείους.

Ἄδηλον. εἰς λάκαιναν.

Γυμνὸν ἰδοῦσα λάκαινα παλίντροπον ἐκ πολέμοιο
Παῖδ' ἑὸν ἐς πάτραν ὠκὺ ἰέντα πόδα,
Αὐτὴ ἀΐξασα δι' ἥπατος ἤλασε λόγχην,

Ἄρσενα

Ἄῤῥενα ῥηξαμένη φθέγγον ἐπὶ κταμένῳ,
Ἀλλότριον Σπάρτας, εἶπεν, γένος ἔῤῥε πρὸς ἅδαν
ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα, καὶ γενέταν.

Εἰς τὸν αὐτὸν, Παλλαδᾶ.

Φεῦγε λάκων ποτὲ δῆιν. ὑπαντιάσασα δὲ μήτηρ
Εἶπε κατὰ στέρνον ἄορ αἰαχομένη.
Ζώων μὲν σῇ ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
Καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις,
Ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
Δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

Εἰς ἀρετὴν Ἄδηλον.

Ὦ στωϊκῶν μύθων εἰδήμονες, ὦ παναρίστα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν.
Τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον. ἅδε γὰρ ἀνδρῶν
Μούνα καὶ βίοτον ῥύσατο, καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα φίλον τέλος ἀνδράσιν ἄλλος
Ἡ μία τῶν μνήμης ἤνυσε θυγατέρων.

Ὀνέστου.

Ἀμβαίνων Ἑλικῶνα μέγαν, κάμες. ἀλλ' ἐκορέσθης
Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
Οὕτω καὶ σοφίης πόνος ὄρθιος. ἢν δ' ἄρ ἐπ' ἄκρον
Τέρμα μόλῃς, ἀφύσῃ Πιερίδων χάριτας.

Παύλου σιλεντιαρίου.

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ
Μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
Πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις

Τῇ,

Τῇ, καὶ τῇ θαμινῶς ἀντιμεθηκόμενος
Ἡ δ' ἀρετὴ σταθερόν τι, καὶ ἄτρεπτον, ἧς ἔπι μούνης
Κύματα θαρσαλέως ποντοπόρει βιότου.

Εἰς αὐτάρκειαν.

Ἄδηλον.

Ἐλθὼν εἰς ἀΐδην ὅτε δὴ σοφὸν ηὔσατο γῆρας.
Διογένης ὁ κύων Κροῖσον ἰδὼν ἐγέλα.
Καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
Τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου.
Εἶπεν, ἐμοὶ καὶ νῦν πλείων τόπος. ὅσσα γὰρ εἶχον
Πάντα φέρω σὺν ἐμοὶ Κροῖσε. σὺ δ' οὐδὲν ἔχεις.

Θεόγνιδος.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

Παλλαδᾶ.

Ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον
Μέχρι τέλος βιότου μηδὲν ἐπιστάμενον.

Εἰς γῆρας καὶ γέροντας

Μενεκράτους.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται, ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

Λουκιλλίου.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιόν ἐστιν
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

Ἀδέσποτον.

Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,

Εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.
Οὕτως ἀντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἥξαν
Γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.

Ἐπιγονίου Θεσαλονικέως.

Η πάρος εὐπετάλοισιν ἐν οἰναίθαις νεάτατα,
Καὶ τεζανῶν βοτρύων ῥᾶγα κομισαμένη
Νῦν οὔπω γηραιὴ μη. ἴδ', ὡς χρόνος οἷα δαμάζει
Καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

Εἰς γραφίδα.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν. ἐκ γὰρ ἐμεῖο
Οὐ σῦκ', οὐ μῆλον φύεται, αὐ σταφυλή.
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος.
Ἐκ δὲ τοῦ, εὖτε πίοιμι μέλαν ποτόν, ἔνθεος οἷα,
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω στόματι.

Εἰς δένδρα. Ἀντιπάτρου, οἱ δέ, Πλάτωνος.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
Παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
Πάντας δ' ἀκρέμονάς τε, καὶ εὐθαλέας ὀροδάμνους
Κέκλασμαι, πυκιναῖς χερμάσι βαλλομένη.
Δένδρεσιν εὐκάρποις οὐδὲν πλέον. ἦ γὰρ ἔγωγε
Δυσδαίμων, ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

Εἰς ΗΧΩ. Ἀρχίου.

Εὔφημος γλώσσῃ παραμείβεο τὰν λάλον ἠχώ,
Κ' οὐ λάλον, ὤντι κλύω, τοῦτ' ἀπαμειβομένα.
Εἴς σε γὰρ ὃν σὺ λέγῃς, στρέψω λόγον, ἢν δὲ σιωπᾷς,

Σιγή-

Σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

Εἰς δένδρα Καλλινίκ.

Ἡ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
Ἀχρὰς θηροβότου πρέμνον ἐρημοσύνης.
Ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω
Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
Πολλή σοι φυτοεργὲ πόνου χάρις. εἵνεκα σεῖο
Ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

Λεωνίδου.

Μὴ μέμψῃ μ' ἀπίπειρον ἀεὶ θάλλουσαν ὀπώρῃ
Ἀχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
Ὁππόσα γὰρ κλάδοισι πεπαίνομεν, ἄλλος ὑφέλκει
Ὁππόσα δ' ὠμὰ μένει, μυρί' ἐπικρέμαται.

Φιλίππου.

Τὸν φιλοπαιστὴν Δημόκριτον τὸν που ἐφεῦρες
Ὤνθρωπ' ἄγγελον τοῦτο τὸ κοῦφον ἔπος,
Ὡς ἡ λευκοόπωρος ἐγὼ, καὶ ἐφώριος ἤδη
Κείνῳ συκοφορῶ τὰς ἀπύρους ἀκόλους.
Σπευσάτω, ἐκ χώρην γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
Ἀκρήτου χρήζει δρέψαι ἀπ' ἀκρέμονος.

Λεωνίδου.

Αὐπτηεῖς καρποὺς ἀποτέμνομαι. ἀλλὰ πεπίερους
Παίδες. μὴ σκληροῖς τύπτετε χερμαδίοις.
Μοῦσαι καὶ βάκχος συνοβρίζοντι τ' ἀκείνω
Ἔργα. Λυκούργειος μὴ λαθέτω σε τύχη.

Ζωνᾶ.

Ζωνᾶ.

Α'νερ τᾷ βαλάνων τὰν ματέρα φείδεο κόπτ(ειν)
    Φείδεο. γηραλέαν δ' ἐκκεράϊζε πίτυν,
Η' πεύκαν, ἢ τάνδε πολυστάχυον παλίουρον,
    Η' πρῖνον, ἢ τὰν αὐαλέαν κόμαρον.
Τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν. κοκύαι γὰρ ἔλεξαν
    Α'μῖν, ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

Αδέσποτον.

Παλλάδος εἰμὶ φυτόν, βρομίου τί με θλίβετε κλῶ-
    Αἴρετε τοὺς βότρυας. παρθένος οὐ μεθύω. (νες;

Εἰς εὐσέβειαν. Καρφυλλίδου.

Ιχθύας ἀγκίστρῳ τις ἀπ' ἠόνος εὔτριχι βάλλων
    Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀστόματον ἐξ ἀπιδήρου
    Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
    Ανδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

Α'δηλον. Εἰς Εὐτύχον.

Ο'ταν θέλῃ τις ἡμέραν ἰδεῖν καλήν,
    Συντυγχάνων σοι, γίγνεται καλήμερος.
Τουναντίον δὲ, κἄν τις εἰ μέλλει παθεῖν,
    Μὴ τυγχάνων σοι, γίγνεται κακήμερος.

Εἰς εὐχαρίστους, καὶ ἀχαρίστους. Αντιπάτρου.

Αντίπατρος Πείσωνι γενέθλιον ὤπασε βίβλον
    Μικρήν, ἐν δὲ μιῇ νυκτὶ πονησάμενος.
Ι'λαος ἀλλὰ δέχοιτο. ϗ αἰνήσειεν ἀοιδὸν

7. Ζς

Ζεὺς μέγας ὡς ὀλίγῳ πειθόμενος λιβάνῳ.

Λουκιανοῦ.

Ὠκεῖαι χάριτες γλυκερώτεραι. ἂν δὲ βραδύνῃ,
Πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.

Ἀδέσποτον.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
Ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, κατ' ἐμοῦ πάλι θηρίον ἔσται.
Ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

Λουκιανοῦ.

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος. εἰς ὃν ἁπάσας
Ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

Εἰς Ζωὴν Παλλαδᾶ.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.

Τοῦ αὐτοῦ.

Μήπου θανόντες τῷ δοκεῖν ζῶμεν μόνον
Ἕλληνες ἄνδρες συμφορᾷ πεπτωκότες
Ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον.
Ἢ ζῶμεν ἡμεῖς τοῦ βίου τεθνηκότος;

Εἰς θάλασσαν. Κριναγόρου.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλῃσι θαλάσσης
Χερνῆτις δειροῦ τυτθὸν ὕπερθε πάγου,
Χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι
Δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου
Πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηὶ
Θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

Virgilij Eclogæ à Daniele Halſuorto Anglo Græcis verſibus ita redditæ, vt ſingulis Latinis Græci fere reſpondeant.

ΤΙΤΥΡΟΣ.

ΕΚΛΟΓΗ Α΄.

ΜΕΛΙΒΟΙΟΣ, ΤΙΤΥΡΟΣ.

Τίτυρε τὺ σκιερᾶς ὑπὸ τὸ σκέπας ἥμενος φαγοῦ,
Λοχμαίαν μελετᾷς καλάμῳ ἀνὰ λεπτῷ ἀοιδάν.
Ἀείπομες ἄμμες ὅρος πάτρας, γλυκερὰς τ᾽ ἀρούρας·
Φεύγομες ἄμμες πάτραν, τὺ γε Τίτυρ᾽ ἐνὶ σκιᾷ ἀργὸς
Ἀντιβοῶν ποιεῖς καλὰν Ἀμαρυλλίδα ὕλας.
Τ. Ὦ Μελίβοιε, σχολὰν ὁ Θεὸς τάνδ᾽ ἄμμιν ἔδωκεν,
Ἐσσεῖται γὰρ ἐμὶν Θεὸς αὐτὸς, βωμὸν ἐκείνω
Πολλάκι τέρην σηκῶν αἱμαξεῖ ἀμνὸς ἀπ᾽ ἀμῶν,
Τοῦτος ἐμὰς βόας, ὡς ἐσορῇς, ἐπέτρεψε πλανᾶσθαι,
Καὶ ἐμὲ ὅσσα πόθευν, παίσδεν δονάκεσσιν ἀγροίκοις.
Μ. Οὐ μὲν τοι φθονέω, θαυμάζω μᾶλλον. οἱ ἀγροὶ
Τόσσον ἐνοχλεῦνται, χιμάρας ἐγὼ ἰδοὺ ἐλαύνω
Νυσταχθὴς συνεχῶς· ταν Τίτυρε καὶ μόγις ἕλκω.
Τᾷδ᾽ αἶγα γὰρ κορύλως διδυματοκέοισα πυκινῇ
Ἐν λιαστῷ ποίμνης τὰν ἐλπίδα ἐγκατάλειψεν.
Πολλάκι κακὸν τοῦτ᾽, εἰ φρεσὶ μὴ ἐπ᾽ ἀριστερὰ βῆμες,

Οὐρανόθεν μνήσθην προλέγειν δρύας ἄμμι τυ-
πείσας.
Πολλάκ' ἀπὸ πρίνου πρὸ σκαιὰ ἔειπε κορώνα.
Ἀλλὰ τίς ἐστι θεὸς, δὸς ἐμὶν, φίλε Τίτυρε, εἰπεῖν.
Ταὶ πόλιν, ἃν Ρώμαν (Μελίβοιε) καλεῦντι, νόμιξα,
Αὐτὸς ἄφρων ἰκέλαν τᾷ δ' ἡμᾷ, πολλάκι κλεῖσαι
Ποιμένες ἃ τέρενας γε ἀπερὰς εἰώθαμες οἴων.
Ὡς σκύλακας κυσὶν, ὡς ἐρίφως τῇ μητράσ' ὁμοίως
Ἤδειν, ὡς μεγάλα σμικροῖς εἰώθει εἴσκειν
Αὐτὰρ ἀνὰ πτόλεας κεφαλὰν τόσον ἅδε ἀνάσχει,
Ὅσσον καὶ ῥαδιναὶ ἀνὰ τὰς ῥῶπας κυπάρισσοι.
Μ. Καὶ τίς τόσσα ἔην ῥώμαν λεύσσειν τοι ἀνάγκα;
Τ. Ἡ μὲν ἐλευθερία. ἀμελεῦντα μ' ἤ. ὀψὲ ποτεῖδεν,
Λευκοτέρα ἐπεὶ αὖ κείροντι ὑπήνα ἔπιπτεν,
Αὐτὰρ ἐμὲ προσεῖδεν, καὶ πολλὰ μετ' ἄματα ἦλθεν,
Ἄμμας ἐπεὶ Ἀμαρυλλὶς ἔχει, Γαλατεία ἔλειψεν,
Ἦ γὰρ (ἐρέω ἔτυμον) Γαλατείας ἄμμας ἐχοίσης,
Οὐ πέλ' ἐλευθερίας ἐλπίς μοι, φροντὶς ἢ ὄλβω.
Ἐξ αὐλῶν γὰρ καίπερ ἐμῶν πολὺ θύος ἀπῆνθεν,
Ἢ δὲ πίων ἀχαρίστῳ ἐπήχθη ἄστεϊ τυρὸς,
Δεξιὰ οὐ χαλκοῦ μ' ἐπανῆλθε ποκ' οἴκαδε πλήρης.
Μ. Θαύμασδον τί θεὼς ἐκάλεις Ἀμαρυλλὶ λυπη-
ρά.
Καὶ τίν ἔασκες ἑοῖς ἐν δένδρεσι μᾶλα κρέμασθαι.
Τίτυρος ἔνθεν ἀπῆν, πίτυες σέγε Τίτυρε αὐταὶ,
Αὐταί σε κρᾶναι ἐκάλευν ἀμυοί τε σε ἦτοι.

Τὶ

Τ. Τί φρονέω; οὐ δουλοσύνην ἐξελῶ ἀλέασθαι,
Ἄλλοθι οὐδ' ἄλλον θεὸν, ὅπως ἵλαον εὑρεῖν.
Ὧδε δὲ νέον τῆνον (Μελίβοι') ἴδον, εἰς ἔτος ᾧκεν,
Καπνίσδοντι ἐμεῦ ἀνὰ δώδεκα ἄματα βωμοί,
Ὧδ' αὐτός μ' αἰτοῦντι κριθεὶς ἀπὸ πρᾶτος ἔειπεν,
Βόσκετε ὡς τὸ πρὶν βῶς (κοῦροι) ὑφίετε ταύρους.
Ὄλβιε ὦ γέρον, οἱ ἀγροὶ ὧν σεῖο μένουσι,
Καί τοι ἅλις μεγάλοι· ὁ λίθος περ λισσὸς ἅπαντας
Πηλώδει λίμνα τε νόμως σχοίνῳ περιβάλλοι.
Ἀμνοφόρους οἴας, τροφαὶ οὐδὲ φθειροῦσι ἀήθεις
Γείτονες οὐδὲ νόσοις ποίμναι βλάψουσι κακῇσιν,
Ὄλβιε ὦ γέρον ὧδε τυ καὶ ἀνὰ γνωτὰ ῥέεθρα
Καὶ ἱερὰς κράνας, καλὸν κρύος εὔσκιον ἕξεις.
Ἔνθε τιν αἱμασία παρ' ὅρον σῷ γείτονος ἀγροῦ
Ἄνθεα ἧς ἰτεῶνος Ὑβλῆς βώζοντι μέλισσαι
Πολλάχ' ὕπνον κάρφῳ πείσει ψιθυρίσματ' ἀωτῶν
Ὧδ' ὑπὸ τὰν πέτραν ὑλητόμος ἤσει ἀσεῖ
Οὐδὲ πόθος σοὺς βραγχώδεις παύσουντι πέλειαι.
Οὐδ' ἀπὸ τᾶς πτελέας θρηνήσειν ὑψόθι τρυγών.
Τ. Τοὔνεκα βρεφθήσοντ' ἔλαφοι ἐνὶ αἰθέρ' ἐλαφροὶ
Ἰχθύας αἰγιαλῷ γυμνὼς λείψει τε θάλασσα,
Ἀμφότεροι φυγάδες περιερχόμενοι πέρατ' αὐτῶν.
Γερμανός τε Τίγρητα, ὁ Πάρθος κ' Ἄραρα πώσει
Μεῦ πρὶν ἀπὸ στήθευς αὐτοῖο πέσοιτο πρόσωπον.
Μ. Ἀλλά τις εἰς Λίβυας διψηρὰς, ἵξεται ἄμμες,
Ἄλλοι δ' ἐς Σκυθίαν, Κρήτας θοὸν ἠδὲ Ὄαξιν,

Ἠ δ᾽ ὅλου ἀφοριχθέντας κόσμοιο βρυτάννως,
Ἠνὶ ἐγὼ μετ' πολλὰ τὰ ἤματα πατρίδα γαῖαν,
Καὶ πνιχηρᾶς καλύβης τὸ στέγος βάλλοις ὃ τέτυκτο,
Θαυμασῶ, βασιλείαν ἰδὼν πέσας μετ' πίας;
Ἠ ῥ' ἄδικος νειὼς ἕξει τάσδε στρατιώτας;
Βάρβαρος ἢ ῥ' ἀρότας τούτους; ἔρις ἐς τί πολίτας
Ἤγαγε δαιμονίως; ποίν ἠνίδε σπείραμες ἀγρώς;
Εμβαλε νῦν Μελίβοι' ἀπίως· θὲς στοιχάδας οἴνας
Σίττα ἐμαὶ, καλὸν ποτ' ἐὰν μᾶλον, σπίττα χίμαιραι,
Ὕστερον ἔ ποκα γὰρ χλωρᾷ κλινθεὶς ἐνὶ ἄντρῳ
Ὄψομαι ἀρτίως σκοπιᾶς ἄπο τηλόθι ὑμᾶς
Οὐ μέλη ἀεισῶ· μεῦ ποιμένος οὔτε χίμαιραι
Ανθηρὸν κύτισον τ' ἰτέας δρέψεσθε τε πικράς.
Τ. Τᾷδ' ἔμπας μετ' ἐμεῦ ἐδυνήθης νυκτὶ καθεύδειν,
Φύλλῳ ὑπὲρ χλωρῷ· μάλα μαλθακὰ μᾶλα μοὶ ἐντί.
Ἀδ κάρυα ἠδ' ἀπαλαὶ, πολὺ ἐντὸς καὶ γάλα παχθέν.
Καὶ νῦν ἄκρα στέγη καπνίζει ὑπὸ ποτὶ κωμᾶν,
Μείζονες ἠδὲ σκιαὶ ὀρέων πίπτοντι ἀπ' αἰπῶν.

ΑΛΕΞΙΣ.

ΕΚΛΟΓΗ Β'.

Ὠραῖον ποιμὰν Κορύδων ἔφλεξεν Αλεξιν.
Τερπνὸν ἄνακτος ἔσ· καὶ ἀνήπιστος πάνυ ἦεν.

Μῶ-

Μοῦνον ἀνὰ σκιερὰς κορυφὰς λασίων ὅγε φαγῶν
Εἰσῆλθεν συνεχῶς· τάδ᾽ ἐκεῖθε τὰ ἄγρικα οἷος,
Ὤρεσι καὶ δρυμοῖς σπουδῇ ἐμέλισδε ματαίῃ.
Ὦ αἰνηρὲ Ἄλεξι ἐμῶν λόγον οὐδένα ποιῇ
Ὠδῶν· οὐδ᾽ ἐλέεις μευ, ἀπάγξασθαί με ποιήσεις.
Ἤδη θηρεία πάντα σκιάς τε κρύος τε ποθεῦντι,
Ἤδη καὶ χλωροὺς σαύρους ἀποκρύπτει ἀκανθών,
Θέστυλις ἐργατίναις τε κεκμαόσι καύματι δεινῷ
Ἕρπυλλον σκόροδόν τε φλᾷ ὀδμείσας μάλα ποίας.
Ἀλλ᾽ ὅταν ἴχνιά σου, τὸ μεσάμβρινον αὐτὸς ἐρευνῶ
Ἡλίου αἴθοντος, θάμνοις ἀχεῖ ἅμα τέττιξ.
Οὐχὶ ἄμεινον ἔην, στυγνὰς Ἀμαρυλλίδος ὀργὰς,
Ὄμματα καὶ ἀνέχεσθαι ἀνασχετά· οὐχὶ Μενάλκαν,
Καίπερ τοῦ μέλανος, καί περ σοῦ λευκοῦ ἐόντος.
Ὦ εὔμορφε παῖ, μὴ ἄγαν χρόᾳ ἴσθι πεποιθώς,
Λευκοὶ γὰρ κύπειροι πίπτοντι, μέλας θ᾽ ὑάκινθος
Κείρεται· οὐ ζητεῖς μισῶν με τίς ἐμμὶ Ἄλεξι,
Ὡς πολύμηλος ἐὼν πολὺ ὡς λευκὸν γάλα πίνων.
Ὤρεσιν ἐν Σικελοῖσιν ἐγὼ βοτὰ χίλια βόσκω,
Χείματος οὔ μοι ἄκρῳ νέον, οὔτε θέρει γάλα λείπει,
Οὕτως ἀείδω ὡς βουκόλιόν ποκ᾽ ἀγείρεσκεν,
Ἀμφίων Διρκαῖος ἐν Ἀκταίῳ Ἀρακύνθῳ.
Οὐδ᾽ ἐμμ᾽ ὡς δύσμορφος, ἐν ἠόνι πρώαν με ὄπωπα,
Ὁππότε νήνεμος ἦν ἡ ἅλς· ἐγὼ οὐδέ τι Δάφνιν
Σεῖο κριτοῦ δείσω, εἰ μή μ᾽ ἀπατᾷ ποκα εἰκών,
Ὦ μόνον αἴθε ἐμίν τοι ἁδεῖ κώμας ῥυποέσας,

Καὶ κάλυβας συνναιέμεναι ἐλάφως τ' ἀναπείρειν,
Ταὶ ἐρίφων τ' ἀγέλαν χλωρᾷ συναγεῖρεν ἰβίσκῳ.
Μιμήσῃ σὺν ἐμοὶ ἐνὶ ἄλσεσι Πᾶνα ἀείδειν.
Πὰν πρᾶτος καλάμως πρὸς κηρῷ ἄρξατο πολλὼς
Ζεῦξαι· πὰν οἶας τ' οἴωντε σκεπτὰς μελεδαίνει
Οὐκ αἰσχυνθείης καλάμῳ κατὰ χείλεα τρίψαι,
Ταῦτα ὄφρ' αὖ εἰδῇ, τί ποκ' οὐ ποίησεν Ἀμύντας;
Ἑπτὰ καὶ ἐκ καλάμων αἰίστων παχθεῖσά μοι ἐντὶ
Σύριγξ· Δαμήτας πάλαι αὖ ἐμοὶ ὤπασε δῶρον,
Καὶ θνήσκων εἶπεν, σὲ ἔχει νῦν δεύτερον αὕτη.
Εἶπεν Δαμήτας· βάσκαινεν μῶρος Ἀμύντας.
Ἐντὶ ἐμοὶ δύο, ὦ ἐν ἀπόσφαγι βήσσῃ ἐφεῦρον
Δορκάδι', οἷν ἔτι δέρματι ποικίλ', ἐν ἤματι οἷς
Θηλάσδοντε δύω μασδὼ, ὦ σοί γε φυλάσσω.
Ταῦτα φέρειν ἀπ' ἐμοῦ ἀπάγειν ἐμὲ Θέστυλις αἰτεῖ
Καὶ ποιήσει, ἐπεὶ δώρ' ἐγγέ τιν οὐ μέλει ἀμῶν.
Δεῦρ' ἄγε, ὦ εὔμορφε παῖ· σοὶ λείρια νύμφαι
Ἠνίδε τοῖς ταλάροισι φέροντι· Ναῒς νιφόεσσα
Λευκόϊον, καὶ μάκωνας δρέψασά τιν ἄκρας,
Νάρκισσον μίσγει καὶ ἁδὺ πνέον τὸ ἄνηθον,
Κασσίᾳ ἠδ' ἄλλαις εἶτ' ἐμπλέξασα πόαισιν,
Ἀδείαισι γράφει ὑάκινθον κάλθα ὑπώχρα.
Καλὰ κυδώνι' ἐγὼ ἁπαλῷ περικαλλέ' ἴουλα
Κέρσω λευκάνασθ' ἐμὰ ὦν Ἀμαρυλλὶς ἐρᾶτο,
Μαλθακὰ καὶ βράβυλ'. ὡς τόδε μᾶλλον τίμιον ἔσαι
Ὕμμας ὦ δάφναι λαψῶ κ' ἔγγιστά σε μύρτε,

Ὧ δὲ

Ὦ δὲ πιθεῖσαι ἐπεὶ λαρὸν πνεῖτε ἀϋτμήν.
Ἄγροικος εἶ Κορύδων· ἀμελεῖ δώρων σοῦ Ἄλεξις,
Οὐδὲ ἐρισδομένῳ δώροις τιν ὑπείξετ' Ἰώλας
Ὤμοι ἐγὼ τί θέλων δύστηνος; νότον αὔθεσιν ἧκα
Καὶ πολὺ πηλῶδες καλλιῤῥόῳ ὕδατι κάπρους.
Αἴ τίν' ἄφρων φεύγεις; καὶ γὰρ ναίον θεοὶ ὕλας.
Δαρδάνιός τε Πάρις· πύργως θεραπεύοι Ἀθήνη,
Ὡς δέδμηκεν, ἐμὶν περὶ πάντων ἁδέτω ὕλα.
Ἡ δὲ λέαινα δίωκε λύκον, λύκος εἶτα χίμαιραν,
Ἀνθηρὸν κύτισόν τε διώκει γαῦρα χίμαιρα,
Ὡς Κορύδων σε Ἄλεξι· ἃ ἡδονὰ ἕλκει ἕκαστον.
Θᾶσαι τὰς βόας, ὡς νῦν εἴκαδ' ἄροτρα φέροντι,
Ἅλιος αὐξομένας τε σκιὰς διπλοῖς δὲ ἀφέρπων
Αὐτὰρ ἐμ' αἴθει ἔρως. τί γὰρ ἐντὶ τὸ μέτρον ἔρωτι;
Ὦ Κορύδων, Κορύδων πᾶ τὰς φρένας ἐκπεπότασαι;
Ἐντί τοι ἄμπελος ἡμίτομος πτελέᾳ ζανυφύλλῳ,
Τίπτε μὴ ὧν χρέος ἐντὶ ἀναγκαῖόν τι τὺ μᾶλλον
Ῥιψὶν ἑτοιμάσδεις πλεκέμεν μαλακοῖσι τοῖς σχοίνοις;
Εὑρήσεις ἄλλον σ' ὄγε εἰ ἀποβάλλετ' Ἄλεξις.

ΠΑΛΑΙΜΩΝ.

ΕΚΛΟΓΗ Γ'.

Μενάλκας, Δαμοίτας, Παλαίμων.

Ἔννεπε Δαμήτα, τινὸς οἶες, μὴ Μελιβοίου;
Δ. Οὐκ. ἀλλ' Αἴγωνος· πρώαν δὲ μοι ὤπασεν Αἴγων

Μ. Ὠ̓ὄϊες μάλα δειλαίαι. κόλπισι Νεαίρας
Γ̓ ἀγοντος κείνω, δέσποτες μή με προσκείνη,
Οἷς ὄγε ἀλλότριος ποιμὴν δὶς ἐν ὥρᾳ ἀμέλγει,
Οἷεσιν ἡ δὲ χυλὸς, γλάγος ἡδ᾽ ὑποκλέπτε(τ) ἀμνὸς
Δ. Ανδράσ᾽ ὀνείδισ᾽ ἔτιν ἀπαίσως μέμνασο τοιαῦτα.
Οἴδαμες, οἵ σέγε τῶ ὀφθαλμῶ λέξα βλεπόντων.
Ὠ πνι κἠ ἱερῶ, νύμφ᾽ ἄμεραι ἀλλά γέλαξαν.
Μ. Πισδώω τότ᾽, ὄκα θαμνῶς ποθεσῶντο Μίκωνος,
Αμπέλω ἡ δὲ κακῷ δρεπάνω ἀμῶντα με θαλλώς.
Δ. Ἡ τᾷδ᾽ ὠγυγίας παρὰ φαγὸς, Δάφνιδος ἄπερ
Ἔῤῥωγας τόξον καὶ ὀϊστὼς ἃ εὖ τὸ Μενάλκα
Ὠ κακὲ δωρηθέντα ἐκείνω ἴδες, τὺ ἐτάκευ.
Κ᾽ εἰ μή πως βλάψας, σύγε τεθνάως τάχα εἴης.
Μ. Κλεπτᾶν τολμώντων τοιαῦτα, τί δρῶσιν αἴγκρπες;
Γείπνος ὁ κλέπτ ἐγώ σε τράγον Δάμωνος ὄπωπα
Κλέψαι, ὑλακτούσης κυνὸς ἀυτῷ πολλὰ Λυκίσκας.
Καί μευ αὔσαντος, πᾶ τῆνος νιῦν ἀποβαίνει;
Τίτυρ᾽ ἄγειρε οἷας, τὺ ὄπισθε λάθεις δοναχεῖσ.
Δ. Οὐκ ἀποδοίη ἐμὶν νικάμενος ἐν τᾷ ἀείδειν,
Ὃν τράγον ἁμετέρα σύριγξ μελέεσσιν εἶκα;
Εἰ ἀγνοεῖς, τῆνος τράγος ἦν ἐμὸς, ἡ δὲ τὸ Δάμων
Ὡμολόγει, αὐτάρ μ᾽ ἀποδοῦμαι ἀπεῖπε δύνασθαι.
Μ. Συρίσδων τῆνον σύγε; πώποκα καρῷ ἐπάχθη
Τὶν σύριγξ, ἀμαθεῖς, ζιόδδοις ἔνι ὥ τυ εἴωθας
Δύσμορε σὺν καλάμαις αὐλῷ ποποῖσδεν ἀοιδάν;
Δ. Χρήσδεις δ᾽ ὦν ἴνα τ᾽ ἄμφω δύναμιν διαμοιβῆς

Πει-

Πειρήσωμες· ἐγὼ τὰν πόρτιν (μὴ τάχα ἀρνῇ)
(Δοιὰ ἔχοισα τέκη· ποταμέλγεται ἐς δύο πέλλας)
Θασεῦ, λέξον ἐμὶν, τὸ ἄεθλον, ὃ καὶ σὺ ἐρείσεις.
Μ. Οὐδὲν ἐγὼ τολμῶ ταύτης ποίμνης καταθεῖναι,
Ἐντὶ πατὴρ γὰρ ἐμοὶ, κ' ἀδίκη μητρυιὰ ἐν οἴκῳ,
Ἄμφω καὶ δὶς ἐπ' ἦμαρ δὶς οἶας κ' ἐρίφως ἀριθμεῦντι.
Ἀλλ' ἔμπας τόδ' ὃ καὶ τύ γε λέξεις εἶμεν ἄμεινον,
(Ὁππόσε σοι λυσσῆν τερπνὸν·) δύο κισσύβια αὐτὸς
Φάγινα καταθήσω ἔργον θείω Ἀλκιμέδοντος.
Τοῖς ἔπι εὔγλυπτος πάνυ ἄμπελος ἀμφιπεταθεῖσα,
Ὠχρὰ τὰς μέσσως κισσῷ περιβάλλει κορύμβως.
Εἰκόνε ἐν μέσσῳ δύο ἐντὶ τὸ Κόνων, χ' ἕτερος τίς;
Ἔθνεσιν ὃς ῥάβδῳ κόσμον σύμπαντα ἔγραψεν
Τὸν χρόνον, ὃν κ' ἀμῶν, σταχρὸς καὶ ἔχῃσι ἀροτήρ.
Οὔποτι χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἄχραντα φυλάσσω.
Δ. Αὐτὸς ὁ Ἀλκιμέδων καὶ ἐμὶν δύο τεῦξε κύπελλα,
Παντᾷ δ' ἀμφὶ λαβαῖς περιπέπτατο ὑγρὸς ἄκανθος.
Ὀρφέα θ' ἑσπομένας θ' ὕλας ἐν μέσσῳ ἔθηκεν.
Οὔποτι χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἄχραντα φυλάσσω.
Εἰ δαμάλαν ἐσορῇς, δεπάων μικρὸς ἐστὶ ἔπαινος.
Σάμερον οὐ φεύξεις· ἕρψω ὅπη ἐθέλησθα
Μοῦνον ἀκούσειεν τάδε ἤνὶ ὃς ἕρπε Παλαίμων. (ναί.
Πράξω ὅπως τινὰ μὴ βλαβερᾷ προκαλέσσεο φωνᾷ.
Ἀλλ' ἄγε εἴ τι ἔχῃς, χρόνον οὐ γὰρ ἐγὼ κατατρίψω,
Οὔτινα φεύγω· μοῦνον ἐνὶ φρεσὶ ταῦτα Παλαίμων,
Βάλλου ἔνερθε τόδ' (ὅττι γὰρ οὐ μικρὸς ἐστὶ ἀέθλος)

Εἴπατ'

Π.Εἴπατ' ἐπεὶ ποίαισι καθήμεθα ἐν μαλακαῖσι,
Νῦν μὲν πᾶν πεδίον, νῦν δένδρεα βλάστανε πάντα,
Νῦν δρυμὸς θάλλει, κάλλιστος νῦν ἐνιαυτός.
Ἄρχεο Δαμοίτα, ὁ ἐφεψάσθω τε Μενάλκας.
Εἴπατ' ἀμοιβαίην, μῶσαι φιλέοντι ἀμοιβαί.
Δ.Ἐκ Διὸς ἀρχώμεσθα· Διὸς γὰρ μεστὰ ἅπαντα,
Κεῖνος γᾶν στέργει, τᾶν μοι ᾠδᾶν μέλει αὐτῷ.
Μ.Καὶ Φοῖβος με φιλεῖ, Φοίβῳ ἐὰ δῶρα φυλάσσω,
Τὰς χλωρὰς δάφνας, χ' ὑάκινθον φοινικόεντα.
Δ. Μάλῳ ἁ κώρα βάλλει γαλάτειά με γαῦρα
Εἰς ἰτέας φεύγει, προτέρη ποθέουσα ἰδέσθαι. (τας
Μ.Ἀλλά με αὐτόματος πῦρ τοὐμὸν ὑπαντᾷ Ἀμύν
Ἄρτεμιν οὐκ ἐκείνου κύνες ἀμὲν μᾶλλον ἴσασιν,
Δ.Κἠγὼ ἐμᾷ κώρᾳ περικαλλέϊ δῶρα φυλάσσω
Τὸν τόπον εἶδα ἐν ᾧ ὑψηλὴ φάσσα ἐφίσδει. (λον
Μ.Καδδύναμιν δέκα ἐκ τῶν δένδρων μᾶλα καθεῖ-
Χρύσεα, κώρῳ ἔπεμψα, καὶ αὔριον ἄλλα οἱ οἰσῶ.
Δ.Ὢ πόσα καὶ ποσάκις μοι ἐλέξατο ἁ γαλάτεια,
Αἴθ' ἀνέμοι φορέοιτε Διός τι μέρος ποτὶ ὦτας.
Μ.Ὅττι μοι οὐκ ἀμελεῖς θυμῷ, τί ὄνησι Ἄμυντα,
Εἰ ἐγὼ, ὅτε κάπρους σὺ διώκεις, δίκτυα ὠρῶ;
Δ.Φυλλίδα πέμψον ἐμοὶ, τὸ γενέθλιόν ἐστιν Ἰώλα.
Καὶ σὺ, ὅκα πρέπῃ ῥέζω καρπῶν χάριν, ἐλθέ.
Μ.Φυλλίδος ἠράσθην περὶ πάντων. ὅκκα ἄφερπον
Δάκρυε, καὶ Μακρὰς λέγε χαῖρε τυ, χαῖρε Ἰώλα.
Δ.Αὐλαῖς ἐστι λύκος φοβερὸς, πεπόνεσιν ὁ χειμών,

Δένδρεσιν οἱ ἄνεμοι, ἁμῖν Ἀμαρυλλίδος ὀργαί.
Μ. Ἁδὺ σπαρεῖσιν ὕδωρ, ἐρίφοις κόμαρος μεγάλοισιν,
Ἁ ἴτεα τοκάδεσσι, ἐμοὶ δ᾽ ὁ μόνος Ἀμύντας,
Δ. Πολλίων μῶσαν φιλεῖ ἁμὰν ποιμενικάν περ,
Πιερίδες δαμάλαν ἀναγνώστῃ βόσκετε ὑμμῖν.
Μ. Καινὰ ἔπη ποιεῖ Πολλίων· βόσκετε ταῦρον
Τοῖς ποσὶν ψάμμαθον πάσσοντα, κορυπτίλον ἤδη.
Δ. Ὅστις Πολλίων σε φιλεῖ, ὅθι ἤλυθες, ἔλθοι,
Καὶ μέλι οἱ ῥείτω ὁ βάτος καὶ ἐνέγκοι ἄμωμον.
Μ. Οὐ Βάβιον μισῶν, ᾠδὰς σάς, Μοίβιε, στέργοι,
Ζεύξοι ἀλώπεκας αὐτὸς, ὁ καὶ τράγον αὐτὸς ἀμέλξοι.
Δ. Ἄνθεα δρεψάμενοι, χαμαὶ ἠδὲ μιμαίκυλα φύντα
Ψυχρὸς ὄφις βοτάναισιν ἐκρύφθη, φεύγετε κῶροι.
Μ. Οἶες ἑκαστέρω ἐρχόμεναι φείδεσθε, μὴ ὄχθαις
Πιστεύετε· ξηραίνει ἑὸν πόκον ὁ κριὸς αὐτός.
Δ. Τίτυρε τρωγοίσας χιμάρας ποταμῶ ἀπέλαυνε,
Πάσας ἐγὼ λουσῶ, ὅταν ὁ χρόνος ᾖ, ἐνὶ κράνᾳ.
Μ. Κῶρε ἄγειρ᾽ ὄϊας, γλάγος εἰ γὰρ καύματα χέρφ
Οὔθατα ὡς πρώαν, χείρεσσιν θλίψομες αὔτας.
Δ. Ὤ μοι ὡς λεπτός μοι πίονι ταῦρος ἐν ἀγρῷ,
Αὑτὸς ἔρως θάνατος μάλοις καὶ ποιμένι μάλων.
Μ. Αἴπον οὐ τοῖσδ᾽ ὀστῖν ἔρως· μόνον αὐτὰ λέλειπται
Τ᾽ ὠστέα· τίς μ᾽ ἀπαλὰς δαλήσατο ὄμμασιν ἄρνας;
Δ. Εἰπέ μοι ἐν τίνι γᾷ (καὶ ἐμὶν μέγας ἔσσῃ Ἀπόλλων)

Τρεῖς πήχεις ὁ ῥατὸς καὶ οὐ πλέον οὐρανός ἐστιν.
Μ. Εἰπέ μοι ἐν τίνι γᾷ αὔθη γραφθέντα πέφυκεν
Τοὔνομ᾽ ἀνάκτων, καὶ τὰν φυλλίδα ἄμπεχε μοῦνος.
Π. Οὐχ ἁμᾶς νεῖκος τοιοῦτο τελέσαι ἔοικεν.
Ἄξιος εἶ δαμάλας τύγε, χ᾽ οὗτος, χ᾽ ὅστις ἔρωτας
Ἢ δείσει γλυκερούς, ἢ πειράσει πολὺ πικρούς.
Κλείετε τοὺς ῥύακας· λειμῶνες ἅλις γὰρ ἔπινον.

Π Ο Λ Λ Ι Ω Ν.

ΕΚΛΟΓΗ Δ΄.

Σικελίδες μοῦσαι μεῖζόν τι ἀείδωμεν ἔργον,
Οὐ πάντας τέρπουσι βάτοι, χθαμαλαί τε μυρῖκαι.
Ἄλσος εἰ ὑμνῶμεν, χ᾽ ὑπάτοιο τὸ ἄξιον ἄλσος.
Κυμαίου πύματος νῦν ἦλθε μελῳδρίου αἰών.
Αὖψ σίχοι αἰώνων ἐξ ἀρχῆς ἐκγεγάασιν,
Παρθένος ἤδη αὖ ἦλθε, κρόνου βασιλεία αὖ ἦλθεν.
Νῦν τέκος οὐρανόθεν νεαρὸν καταπέμπεται ἄμμιν.
Κούρῳ γειναμένῳ τὺ, ὑφ᾽ ᾧ κε σιδήρεος αἰὼν
Λήξει, καὶ κόσμῳ αὖ στήσει χρύσεον ἔθνος,
Ἵλαος Εἰλήθυια ἴσθι· σὸς ἀνάσσει Ἀπόλλων.
Σεῦ, μέγα κῦδος τοῦθ᾽, ὑπάτοιό σου, ἄρξετ᾽ αἰῶνος
Πολλίων μεγάλοι προάγειν ἄρξουσί τε μῆνες,
Αρχοῦ σεῖο, κακῶν εἰ ὦσιν ἔτ᾽ ἴχνια ἔργων,
Ἀΐδιοι λύσουσι φόβου γῆν ὥσπερ ἄπρακτα

Αθα-

Ἀθανάτων λήψων βίον, ὀψόμενός τε θεοῖσιν
Μισγομένους ἥρωας, ὅδ' αὖ ὀφθήσεται αὐτοῖς.
Κόσμου ἐν εἰρήνῃ ἀρετῆσι πατρὸς βασιλεύσει.
Ἀλλά σ' αὔδε μόχθου, πρῶτα ζείδωρος ἄρουρα,
Πάντοτε ἕρποντας κισσοὺς σὺν βάκχαρει κοῦρε,
Καὶ σὺν ἀκάνθοισιν κολοκάσια δῶρ' ἐπιχεύσει.
Αὐταὶ ἐσοίσουσιν χίμαιραι σπαργῶντα δόμονδε
Οὔθατα αὐτόμολοι· ἀγέλ' οὐ δείσουσι λέοντας.
Αὐταὶ χεύσουσίν τοι ἐράσμια κοιτίδες ἄνθη.
Ἤδη δεινὸς ὄφις, καὶ φάρμακα πάντα θανεῖται.
Ἤδη Ἀσσύριον πάντα τε φυθήσετ' ἄμωμον.
Ἀλλ' ἔπει ἡρώων κλέα καὶ ὀρθώματα πατρὸς,
Καὶ ἀναγινώσκειν, ἀρετὴν γνῶναί τε δυνήσῃ,
Ἠρέμα ἐσσεῖται πεδίον ξανθὸν σταχύεσσιν.
Πυρναία τραχείαις σταφυλὴ βλαστήσει ἀκάνθαις·
Ἡ δ' ἐξιδρωσοῦντι δρυὲς δροσερὸν μέλι στερραί·
Ἴχνια σμικρὰ δόλου ἀτὰρ ἀρχαίοιο μένουσιν,
Οἳ περάαν πόντον νηυσὶν, περὶ τείχεσ' αἰώγοι
Οἳ πόλιας βάλλειν· καὶ τέμνειν αὔλακ' ἀρούρᾳ,
Ἄλλος καὶ τότε Τῖφυς κ' ἄλλη ἐσσεῖται Ἀργώ,
Ἣ φέροι Ἥρωας, πόλεμοι ἄλλοι τε ἔσονται.
Καὶ πάλιν εἰς ἱερὰν Τροίης πόλιν ἵξετ' Ἀχιλλεύς.
Ἀλλ' ἐπεὶ ἡλικίας ἀκμὴ σέγε ἄνδρα ποιήσει,
Εἴξει καὶ πόντῳ ναύτης, πίτυς οὔτε θαλάσσῃ
Κτήματα ἀλλάξει· πᾶσ' ἔσται πάμφορος αἶα.
Οὐκέτι χθὼν ξυστρὸν, δρέπανον μήτ' ἄμπελος οἴσει

Ἤδη

Ἤδη καὶ στιβαρῶς ζυγὰ βουσὶν λύσει ἀροτήρ.
Ψεύσεται οὐδ' ἔριον τὰ χρώματα ποικίλα λευκὸν,
Αὐτὸς ὁ ἀλλὰ κριὸς λειμῶσιν πορφυρέοιο
Ὀστρέου, ἠδὲ πέκον μεταμείψει λυσιμάχου,
Σανδύκι αὐτομάτως βόσκων ἐσθήσεται ἀρνός.
Αἰῶνας τοίους τρέχειν, οἷς εἶπον ἀτράκτοις
Μοῖρα ἀκινήτῳ σύμπασαι ὁμόφρονες αἶσαι.
Θεσπεσίαις τιμαῖς ἐγχείρει (νῦν χρόνος ἔσται)
Ὦ τέκος ἀθανάτων μέγα ἠδὲ διοτρεφὲς ἔρνος.
Θᾶσαι ὡς κόσμος νεύει ἐπὶ ἄχθεϊ κοιλῷ
Καὶ χθὼν, καὶ πόντου πέλαγος, καὶ οὐρανὸς αἰπύς.
Θᾶσ' ἐπ' ἐσσομένῳ ὡς φαιδρὰ ἅπαντα αἰῶνι.
Αἴθε τόσον ζωῆς πύματον μίμνῃ μέρος ἡμῖν
Πνεῦμά τε τόσσον ὅσον σὰ ἐμ' ἀρκέσει ἔργα ἐνίσπειν,
Οὔτι με οὐ μέλπεσιν νικάσει Θρᾴκιος Ὀρφεὺς,
Οὔτε Λίνος· τῷ περ μήτηρ, ὁ πατὴρ καὶ ἐκείνῳ,
Ὀρφεῖ Καλλιόπεια, Λίνῳ ὡραῖος Ἀπόλλων.
Πὰν εἰ Ἀρκαδίας κρινάσης ἅμμιν ἐρίσδεν,
Ἀρκαδίας Πὰν κρινάσης νικῆσ' ἐμὲ εἴποι.
Ἄρχεο μικκὲ γέλῳ γινώσκειν μητέρα κοῦρε.
Μητέρι οἱ δέκα μῆνες ἔνεικαν πήματα πολλά.
Ἄρχεο μικκὲ κέρ' ᾧ οὐ μειδιόων τε τοκῆες,
Ὃν θεὰ οὔτ' εὐνῆς, θεὸς ἠξίωσ' οὔτε τραπέζης.

ΔΑΦΝΙΣ.

ΕΚΛΟΓΗ Ε΄.

Μενάλκας, Μόψος.

Τίφθ' ὑπὸ τὰς πτελέας (ὅκα ἄμμε συνήντομες ἄμφω,
Ἁδύ τυ συρίσδεν δεδαημένος αὐτὸς ἀείδεν)
Μιχθεῖσαι κορύλοις οὐ Μόψε καθισδόμες ὧδε;
Μο. Πρεσβύτερος σύ γε εἶ. ἐμὲ πείθεσθαι πρέπον ἐστί·
Εἴτε σκιαῖς ὑπὸ σειομένας, ζεφύρων γε ἀέντων,
Εἴτ' ὑπὸ ἄντρα ἔσω ἕρπωμες· βότρυσι θῦσαι
Ὡς σπανίοις περὶ πολλὰ θέ' ἀγριάμπελος ἄντρον.
Με. Ὤρεσιν ἁμετέροις μοῦνός σοι ἐρίσδη Ἀμύντας.
Μο. Αὐτὸς νικάζεν τὸν Φοῖβον ἐρίσδη ἀοιδαῖς. (τα,
Με. Ἄρχεό συ πρότερος τινα Φυλλίδος εἰτάχ' ἔρω-
Ἢ Ἄλκωνος ἔπαινον ἔχῃς ἢ νείκεα Κόδρω,
Ἄρχεο. Τίτυρος ὧδ' ἐρίφως ἐν τῷδε νομεύσει.
Μ. Πλὰν τάσδε χλωρεὰς ἃς πρὰν φλοιῷ ἐνὶ φαγῶ
Ἐγγεγράφειν ᾠδὰς δι' ἀμοιβῆς ἁδὺ μελίσδων,
Πειράσω· τὺ ἔπειτα ἐρίσδεν ἄνωγε Ἀμύνταν.
Με. Ἃ ἰτέα στρεπτὰ χλωρᾷ ὅσον εἴκει ἐλαίᾳ,
Ἁ νάρδος Κήπων ὅσον τ' ἐρυθρεῖσι ῥόδοισιν,
Τόσον καὶ κατ' ἐμὸν νόον εἴκει σοί γε Ἀμύντας.
Πλείονα ἀλλὰ λαλῶν νῦν λῆγε, ἐσήνθομες ἄντρον
Μο. Αἱ νύμφαι φθίμενον τῷ πότμῳ ἀπήνει Δάφνιν.

Κλαῦ-

Κλαῦσαν μύρτυες ὦ κόρυλοι καὶ νάματα νύμφαις.
Ἀνίκα περιπτύξασα δέμας τέκνω ἐλεινὸν
Μάτηρ, φάσκε θεὼς καὶ ἀστέρας ἦμεν ἀπηνεῖς
Οὐδεὶς βοσκομένοις βῶς βουκόλος ἄμασι τήνοις.
Ὡς ποταμὼς ψυχρὼς ἦλθεν· καὶ ἐπάσατο οὐδεὶς
Νάματα πὰρ ταπίδων, πιδίωντ' εὐθηλέα ποίαν.
Ὠμοφάγως ὄλεθρον δακρύει σοῦ Δάφνι λέοντας
Ὑψηλοὶ δρυμοὶ, καὶ ὤρεα μακρὰ λέγοντι.
Ἀρθμίας Δάφνις ζεῦξαι ἐπὶ ἅμασι τίγρεις
Ἐξεδίδαξε, Δάφνις θυάσως τε κομίσαι Ἰάκχῳ,
καὶ μαλακοῖς φύλλοις θύρσως ἁπαλοῖς ἐπιπλέξαι.
Ἄμπελος ὡς δένδρεις, σταφυλὴ κλέος ἀμπέλῳ ἐντὶ
Βουκολίοις ταῦροι, πεδίοις καὶ πίοσι λαῖον;
Οὕτως σοῖσι κλέος σὺ· ἐπεί σε ἀφείλετο πότμος
Τώς τε Πάλη ἀγρώς, καὶ αὐτὸς ἔλειπεν Ἀπόλλων.
Πολλάκι ἐν ᾧ μεγάλην ἐσπείρομες αὔλακι κριθὴν
Καὶ ἄγριαι βοτάναι, καὶ τὰ ζιζάνια φύνται.
Ἀντὶ ἴω ἁπαλοῦ, καὶ ναρκίσσοιο ἐρυθροῦ,
Ὁ σκόλιμος τ' ἐφάνη, κ' ὀξὺ παλίουρος ἀκάνθαις,
Πάσετε φύλλα χαμαὶ, ποιεῖτε σκιὰς περὶ κρήνας·
Ποιμένες, οἱ γὰρ Δάφνις ἄνωγε τοιαῦτα γλυφέσθαι,
Καὶ τύμβον τεύξατε, τάφῳ τ' ἐπίγραμμα τὸ ὧδε.
Δάφνις ἐγὼ δρυμοῖς, ὃν ἐς οὐρανὸν ἄγαγε φάμα,
Ὡραίω μάλου, ὡραιότερος σκοπὸς αὐτός.
Με. Τοιαύτη ἄμμιν σοῦ ᾠδὰ θεῖε ποιητὰ,
Οἷος ὁ ἐν ποίαις ὕπνος κεκμαῶτι ἀνδρὶ,

Οἷον

Οἷον καὶ κἠν καῦμα τὸ δίψαν νάματι σβῶσαι.
Ταὶ φωναὶ καλάμως τὸ διδασκάλῳ ἰσοφαρίσδεις
Ὦ μακαριστὲ παῖ, σὺ μετ' αὐτὸν δεύτερος ἔσσῃ,
Ἀλλ' ἐγὼ καὶ ἀμειβόμενος μέλος ᾄσω ἄγροικον,
Καδδύναμιν· καὶ τὸν σὸν Δάφνιν ἐς οὐρανὸν οἰσῶ,
Δάφνιν ἐς οὐρανὸν οἰσῶ. ἄγαν φιλέεσκέ με Δάφνις.
Μο. Ἆρα ἐμὶν δύναταί τι τὸ δῶρον μεῖζον ἐνῆ καί;
Καὶ τῆνος κῶρος μελέων ἦς ἄξιος· ἄμμιν
Ταύτας καὶ Στιμίχων πρόχαι ᾔνησεν ἀοιδάς.
Με. Θεσπέσιος θαυμάζει ἀηθέα οὐδὸν ὀλύμπου
Καὶ λεύσσει ὑπὸ ποσσὶ νέφη καὶ τείρεα Δάφνις.
Ὕλας ὧν φαιδρὰς, καὶ ποιμένας ἠδὲ καὶ ἀγρὼς,
Πᾶνά τε, καὶ Δρυάδας, θυμῷ μέγα χάρμα κιχάνει.
Οὐδ' ὁ λύκος μάλοις, ἐλάφοις τ' οὐ μηχανάαται
Δίκτυα, τὰν ἀπάταν· φιλεῖ ἀσυχίαν γὰρ ὁ Δάφνις.
Αὐταὶ ἐπ' εὐφροσύνῃ φωνὰς εἰς ἄστρα ἱεῖσιν
Ὤρε' ἄκαρπ'· αὐταὶ νάπαι μέλη ἀντιβοῶσιν
Αὐτοὶ καὶ θάμνοι. Θεὸς, ὦ, Θεός ἐστι, Μενάλκα.
Εὔφρων ἴσθι ἑοῖς τε τεοῖς. βωμὼς ἴδε Δάφνι
Τέσσαρας· ὧν δύο σοι, Φοίβῳ δύο ἄλλα ἔτευξα,
Στάσω σοι γαύλω ἐς ἔτος νεαροῖο γάλακτος,
Καὶ κρητῆρε δύω ἄλλω λιπαροῖο ἐλαίω.
Ἔξοχα δ' ἀρ πολλῷ τὰς δαῖτας οἴνῳ ἰαίνων.
Πὰρ πυρὶ εἰ χειμὼν σκιὰ ἀδεῖα, εἰ ὀπώρα
Νέκταρ ἴσον ἐκ ταλάροις χεύσω ἀειζάον οἶνον.
Ἄσουσιν μοι Δαμήτας καὶ Λύκτιος Αἴγων,

Ὀρχεῦντας σατύρους μιμήσεται Ἀλφεσιβοῖος,
Ταῦτά σοι ἐσσεῖται, ὁπόταν καὶ ἐτήσιαι εὐχαὶ
Ἐκ νύμφαισι δοθήσονται, καὶ ἀγρῶς καθαρεῦμες.
Ὥρεσι ἔς τε κάπρος, ποταμοῖς καὶ τέρπεται ἰχθύς,
Τέττιγας τὴν δρόσον, θύμον βόσκοντι μέλισσαι,
Τοὔνομα σὸν, τιμή τε τεὰ, τὸ κλέος τε μενεῦσιν.
Ὡς Δήμητρί τε καὶ Βάκχῳ, οὕτως σοι ἄγροικοι
Εἰς ἔτος εὐχόμενοι. εὐχωλαῖς καὶ καταδήσεις.
Μο. Τοίων ἀντ᾽ ᾠδῶν τίνα δῶρα τίν᾽ ἄξια δώσω,
Οὐ γὰρ ἐμὲ ψιθύρισμα νότου τόσον ἁδὺ ἀέντος
Ἠόνες οὐδὲ τόσον τέρπονθ᾽ ἃς κῦμα πατάξει,
Οὐδ᾽ ἀνὰ πετραίας βύσσας ποταμοί γε ῥέοντες.
Μ. Τούτου σε πρόσπερος δόνακος δωρήσομαι αὐτός.
Ὅς τ᾽ ἄμμας, ποιμὰν Κορύδων ἔφλεξεν Ἀλέξιν,
Ὅς τ᾽ ἐδίδαξ᾽ ἄμμας, τίνος οἶες; μὴ Μελιβοίου;
Μ. Ἀλλά τυ λάζεο, τήνδε καλαύροπα ἣν ἐμὲ ἤτει
Κ᾽ οὐκ ἔχεν Ἀντιγένης· ὃς κ᾽ ἄξιος ἦν φιλέεσθαι,
Ἄμμασι καλλίστην ἴσοις, χαλκῷ τε Μενάλκα.

ΣΙΛΗΝΟΣ.

ΕΚΛΟΓΗ Ζ΄.

Πρῶτα Σιρακοσίαν ἀείδειν ἠξίου ᾠδάν.
Οὐδὲ Θάλεια ἐμὰ ᾐσχύνετο ναίεμεν ὕλας.
Εὖτε ἐγὼ βασιλεῖς καὶ ὅπλα ἄειδον, Ἀπόλλων
Ὦτας τίλλε, λέγων, τὸν ποιμένα Τίτυρ᾽ ἔοικεν

Ποί-

Ποίμνια ποιμαίνειν, λεπτὰν καὶ ἀείδειν ἀοιδάν.
Νῦν αὐτὸς (πολλοὶ γὰρ ἔσονται ἄγαν μεμαῶτες
Βᾶρε τεὰς κρυεράς τε μάχας, καὶ συγγράφειν αἶνος.)
Ἄσω ἀγρότερον λεπτοῖς δονάκεσσι μέλισμα.
Οὐκ ἀκέλευστα ἀείδω ἐγώ· τῶνδ' εἴ τις ἐραστὴς
Ταῦτ' ἀναγινώσκῃ, ἀμαί σε γε Βᾶρε μυρῖκαι,
Σ' ἄλσος πᾶν ἄσεται· Φοίβῳ χαριέστερον οὐδὲν,
Ἢ σελὶς ἣ προέγραψεν ἑαυτῇ τοὔνομα Βάρου.
Εἴπατε Πιερίδες· Μνάσυλος καὶ Χρόμις ἄντρῳ
Σίληνον κοῦροι ἐν ὕπνῳ κείμενον εἶδον,
Τὰς φλέβας, ὡς αἰεὶ, χθιζῷ ᾠδηκότ' Ἰάκχῳ.
Ἐκ κεφαλῆς στέφανοι πεπτῶτες τηλόθ' ἔκειντο,
Τριφθείσης τε λαβῆς ἤρτηται κάνθαρος ὕψου.
Τῷ δὲ ἐπεισελθόνθ' (ὁ γέρων γὰρ πολλάκι ἄμφω
Ἐλπίδι ἐξαπάτησε μελῶν) δεσμούς τε ἔθεντο
Ἐκ στεφάνων· δειλοῖσιν ἐπήλυθεν Αἴγλη ἀρηγών,
Αἴγλη Ναϊάδων καλλίστη· ἤδη ὁρῶντος (πον.
Τοῖς ἐρυθροῖσι μόροις κροτάφους γράφει ἠδὲ μέτω-
Ος δ' ἀπάτην γελάων, λέγε, δεσμοὺς τίπτε πεδᾶτε
Λύσατε κοῦροι· ἰδεῖν ἐμὲ ἀρκετόν ἐστι δύνασθαι.
Ὠδὰς ἃς ἐποθεῖτε, ἀκούετε, ὔμμι γὰρ ᾠδάς,
Τῇδ' ἄλλον μισθὸν δώσω. ἐξῆρχεν ἔπειτα.
Καὶ τότε δὴ κατίδοις Φαύνους καὶ θῆρας ἅπαντας
Ὀρχεῖσθαι στερεάς κινεῖν δρυὰς ἄκρα μακεδνά.
Οὐδὲ τόσον Φοίβῳ Παρνάσσος ἀγάλλεται αἰπὺς,
Οὐδὲ τόσον Ῥοδόπη ἢ Ἴσμαρος Ὀρφέα θαμβεῖ.

Καὶ γὰρ ἄειδεν, ὅπως ἠγερμένα ἐν κενεῷ ἦσαν
Σπέρματ᾽ ὑπὸ μέτρῳ τινὶ ἠέρος, ὕδατος, αἴας,
Καὶ πυρὸς αἰθομένου· ὡς πάντα ἔπειτα τέτυκται
Τῶνδ᾽ ἐκ στοιχείων· κόσμου συγκέκειτο κύκλος.
Ὕστερον ὡς ἡ χθὼν στερεώθη, Νηρέα πόντῳ
Ἄρξατ᾽ αἰαστεῖλαι· μορφὰς λάβεν ἠρέμα πάσας.
Καὶ ὡς ἠέλιος νεαρὸς περὶ γαῖαν ἔλαμψεν
Φθειρομένων νεφέων, ὡς ὑψόθεν ὄμβροι ἔπιπτον.
Ὅκκα αἱ ὕλαι ὑψηλαὶ τὰ πρῶτα ἀνέσαν.
Ὡς κατ᾽ ἄγνωστα ὄρη περὶ παῦρα ζῶα πλανῶντο.
Εἶτα λίθους Πύῤῥης ῥιφθέντας, τὴν κρόνου ἀρχήν,
Καυκάσου οἰωνούς τ᾽ ἔλεγεν καὶ κλέμμα Προμηθεῦς.
Οἷς προσέθηκε Ὕλαν, κρήνῃ ἐκάλουν τινὶ ναῦται
Λιφθένθ᾽· ὡς ῥηγμὶν ἐ ἅπασ᾽ Ὕλα ὦ Ὕλα ἤχει.
Καὶ εὐδαίμονα εἰ ἀγέλαι ποτὲ οὐ πελέθεσκον,
Πασιφάην θέλγει, βοὸς ἡ νιφόεντος ἐρᾶτο.
Παρθένος ἁ δύσερως· πᾶ τὰς φρένας ἐκπεπότασαι
Μυκηθμῶν ψευδῶν ἔπλησαν Προιτίδες ἀγρούς.
Οὐδέ τις ὡς αἰσχρᾶς τίνων ἀκολούθει εὐναῖς.
Καίπερ πολλάκι δειμήνασα τῇ αὐχένι ἄροτρον.
Καὶ κέρατ᾽ ἐν λείῳ περ ζητήσασα μετώπῳ
Παρθένος ἁ δύσερως, ἤδη τὺ ἐν ὄρεσι πλάζῃ,
Οὗτος ἐρειδόμενος πλευρὰν μαλακῷ ὑακίνθῳ
Τὰς ἀναμασᾶται ποίας ὠχρὰς ὑπὸ πρῖνον.
Ἢ τινι ἐν ἀγέλῃ ἕπεται. ὅδε· κλείετε νύμφαι
Δικταῖαι, νύμφαι νεμέων νῦν κλείετε ἄλση,

Εἴ τινα ὀφθαλμοῖσιν ὑπαντῶσ' ἴχνια ἀμοῖς
Πλαζομένοιο βοός· καὶ γὰρ χλωρῆς τάχα κεῖνον
Ἢ χαίροντα ποίῃ, ἀγέλης ἀκόλουθον ἢ ὄντα,
Γορτύνιον δαμάλαι περὶ εἰς τὸν σταθμὸν ἄγουσιν.
Εἶτα λίγεν μὲν λ' ἐαστειρέων κούρην περισσεύσασαν,
Εἶτα βρέφῳ Φαεθοντιάδας πτεροῦ περιβάλλει
Φλοιοῦ· αἰγείρους τε μακεδνὰς γαῖα ἀιορθοῖ.
Πάρ ποτ' ἐμῷ Περμήσσῳ ἔπειτα ἀείδε ἰόντα
Γάλλον ἐς Ἀονίας ὄρη ὡς μία ἦγεν ἀδελφῶν.
Πᾶς χορὸς ὡς Φοίβοιο καὶ ἀνέει πᾶς δὲ αἰέσυ.
Ταῦτα οἱ ὡς ὁ Λίνος ποιμὰν καὶ θεῖος ἀοιδὸς
Ἄνθεσι τοὺς πλοκάμους πεπυκασμένος ἠδὲ σχίνοις,
Ἔννεπε· τοὺς (λαβὲ) τοὶ καλάμους μῶσαι διδόασιν,
Ὥς πάρος Ἡσιόδῳ πόρεν, οἷς εἴωθεν ἐκεῖνος
Ὑλαίας κατάγειν ὀρέων μελίας, εὖ ἀείδων.
Γρυναίου νέμεος γένεσιν σύ γε τοῖσδε κλεΐξεις.
Μηδενὶ ὥστε πλέον τεμένει γαυρῶνται Ἀπόλλων.
Τίπτε λέγω Σκύλλαν Νίσου, ἢ (ὡς λέγε φήμη)
Τοὺς βουβῶνας ὑλακτοῦσιν λευκοὺς περάτεσιν
Ζωσαμένην, ἐξέταραξ' Ὀδυσῆος νῆας ἀβύσσοις
Δίναις καὶ ναύτας κυσὶν ἐναλίοισιν ἄμυσσεν;
Ἄρθρα τε ἀλλαχθένθ' ὡς εἶπεν Τηρέος αἰνοῦ.
Ἢ δὲ τίνας κείνῳ Φιλομήλη ἑτοίμασε δαῖτας;
Ἢ δὲ τίνι δρόμῳ εἰς τόπον ἵκετο κεῖνος ἔρημον,
Ἢ δὲ τίσιν πτερύγεσσι πρὶν ὃν περιπέπτατο οἶκον.
Πάντα γὰρ ἴσασι μάκαρ Φοῖβε πετὲ ἐκπονέοντες

Ἤκοι Εὐρώτας, δάφνας τε μαθεῖν ἐκέλευσεν,
Οὗτος ἄειδε, φέρον βήσαι εἰς ἄστρα πλαγεῖσαι·
Ἐς τ' οἴας συνάγειν εἰς αὐλάς, καὶ καταριθμεῖν
Ἕσπερος ἠνώγει, κ' ἀέκητι προῆλθεν Ὀλύμπου.

ΜΕΛΙΒΟΙΟΣ.

ΕΚΛΟΓΗ Η'.

Δάφνιδος ἑζομένω· τάχ' ὑπὸ πρίνον εἰς ἕνα χῶρον
Ταὶ ἀγέλαν Θύρσις πόκα καὶ Κορύδων συνάγειρον,
Θύρσις ὄϊς, Κορύδων ἀπαργώσας ἦγε χίμαιρας.
Ἄμφω ἡλικίην ἀκμάζοντ', Ἀρκάδες ἄμφω.
Ἄμφω ἀμείβεσθαι δεδαημένω, ἄμφω ἀείδειν.
Ὧδ' ὁπόταν μύρτοις ἁπαλαῖς ἀπὸ κρυμοῦ ἀμύνω
Τᾶν αἰγᾶν ἐπλανᾶτο τράγος αὐτὴρ· Δάφνιδα αὐτὸς
Εἰσορόω, τήνος λεύσσων με λέγ', ὅττι τάχιστα
Δεῦρ' ἄγε ὦ Μελίβοιε· (τράγος σοι σῶς, ἔριφοί τε
Κ' εἰ δύνασαί τι μένειν, ὑπὸ τᾷ σκιᾷ ἕζεο τυτθόν.
Τᾷδε γὰρ ἥξουσιν δαμάλαι ἀνὰ λείμακα πίνειν,
Τᾷδ' ἁπαλοῖς δόναξι σκεπάει καλλίρροον ὄχθας
Μίγκιος, ἐξ ἱερᾶς τε δρυὸς βομβεῦντι μέλισσαι.
Τί δρῴην; οὐκ Ἀλκίππην, οὐ Φυλλίδα εἶχον,
Οἵ κοι ἢ κλείσειε γάλακτος ἄτερ ἐμοῦ ἄρνας·
Καὶ Κορύδωνι ἦν δεινὸς καὶ Θύρσιδος ἆθλος. (ξα.
Τῶν πρὸς ἀθύρματ', ἐμὰ σπουδαῖα πάρεργα νόμι-
Οὕτοι ὦν ἄρξαντο ἐρίσδειν ἀμοιβαδὶς ἄμφω,

Ὅτι

Ὅττι ἀμοιβαίαν μοῖσαι μνήσασθ᾽ ἐθέλοντο,
Ἐξείης ὡς μὲν Κορύδων, ὡς Θύρσις ἔειπεν. (δὰν
Κο. Νύμφαι, ἐμὸς πόθος, ὦ Λειβηθρίδες, ἤ μοι ἀοι-
Ἴσαν τῷ Κόδρῳ δότε, (Φοίβῳ ὅμοια μεγίστῳ
Αὐτὸς ἀείδει μὲν) ἢ εἰ οὐ δυνάμεθα ἅπαντες,
Ἐκ πίτυος σύριγξ ἠρτήσεται ὧδε λιγεῖα.
Θ. Ποιμένες αὐξόμενον κισσῷ κοσμεῖτε ποιητὰν
Ἀρκάδες, ὄσφυν κὰν ῥῆξαι φθόνω εἵνεκα Κόδρος·
Ἢ εἰ μ᾽ αἰνήσοι ἀέκων, ἐμὶν ἀμφὶ μετώπῳ
Βάκχαριν ἔνθετε, μὴ γλῶσσαι βλάψωσί με δειλαί.
Κ. Τοῦτο κάρη κάπρου ξαχυχαίτου Ἄρτεμι μικκὸς
Μύκων, ἠδὲ κέρα μακρά σοι ἐλάφω ἀνέθηκεν.
Εἰ ἴδιον τόδε μοι ἔσεται, ἐκ μαρμάρου ἔσσῃ
Ἑσταμένη κνήμας τῷ φοινικόεντι κοθόρνῳ. (τος
Θ. Ψαιστὸν τόνδε Πρίαπ᾽ ἐς ἔτος, γαυλόν τε γάλακ-
Σοὶ ἅλις ἐστὶ μένειν, πενιχροῖο φυλάκτορι κάπου.
Νῦν σέγε μαρμάρεον ποίησα ἐπὶ χρόνον, αὐτὰρ
Εἰ ἀγέλαν ὁ τόκος πληρώσοι, χρύσεος ἔσσῃ.
Κ. Νηρείνη Γαλάτεια, θύμω γλυκερωτέρα Ὕβλης,
Λευκοτέρα κύκνων, κισσῶ μᾶλλον περικαλλής,
Ἁνίκα φερβόμενοι ταῦροι ἵξοντ᾽ ἐπὶ φάτναν,
Εἰ Κορύδωνος ἔχει μελέτη σέ τις, ὡς μὲ ποτέρχου.
Θ. Σαρδοῦς πικρότερος ποίας σοι ἔγωγε φανοίμαν,
Τρηχύτερος ἀγρίας μυρσίνης, ἠδὲ χερείων
Φύκεος, ἅδ᾽ εἰ ἔτοις οὐ μακροτέρ᾽ ἀμέρα ἐστίν.
Εἴ τις ἔτι αἰδώς, νῦν ἔρπετε οἴκαδε μόσχοι.

Κ. Ὕπνῳ ὦ βοτάναι μαλακώτεραι, ἥ δὲ βρυώδης
Κρᾶναι, καὶ κόμαρος σκιᾷ ἡ σκέπᾳ ὕμμας ἀραιᾷ
Αἰγίοιο τροπὰν μάλου ἀποζεύξατε· φρύγει
Ἤδη καύματα· ὀφθαλμοῖς καὶ κλῆμα πέπληθεν.
Θ. Ἐσχάρα ὧδ' ἔστιν, δᾷδες, πῦρ ἄφθιτον αἰεὶ,
Ἀσβόλῃ αἱ αἰεί τε παραστάδες ἐντὶ μέλαιναι.
Ὧδε δ' ἐγὼ οὕτως βορέαο κρύος μεγεδαίνω,
Πᾶς λύκος ὡς ἀριθμὸν, ποταμὸς χειμάρροος ὄχθας.
Κ. Δένδρεα λευκαίνας, καὶ ἀρκεύθειο βέβριθεν,
Καὶ ὑπὸ τοῖς δένδροις ἑὰ κεῖται μᾶλα ἑκάστοις,
Πάντα γελῶσιν νῦν, ἀλλ' εἰ ὡραῖος Ἄλεξις
Τῶν ὀρέων ἀπίῃ ὄψῃ καὶ ναμάτα ξηρά.
Θ. Αὖα ἀγρὸς. διψῶσα κακῇ θάνεν ἤέρι ποία,
Ἀμπέλου ἡ δὲ σκιαὶς φθονέει τοῖς ὤρεσι βάκχος.
Φυλλίδος ἁ μετέρας ἐλθούσης, πᾶν θαλεῖ ἄλσος,
Καὶ Ζεὺς γηθόσυνος πολλῷ καταβήσεται ὄμβρῳ.
Κ. Ἡρακλεῖ λεύκα κεχαρισμένη, οἴνη Ἰάκχῳ,
Ἁ δάφνα Φοίβῳ, μύρτος καλᾷ Ἀφροδίτᾳ.
Ἁ Φύλλις κορύλως φιλεῖ, αὐτὰς ἔς τε φιλάσει,
Οὐ κορύλων μύρτος, φοίβου Δάφνη, ἠὲ κρατήσει.
Θ. Ἁ πίτυς ἐν κάποις, μελία καλλίστη ἐν ὕλαις,
Ἐν ποταμοῖς λεύκα, ἐλάτη ἐπὶ ὤρεσι μακροῖς.
Ἀλλά με ὦ Λυκίδα, εἰ ἔλθῃς πολλάκι λεύσσεν,
Ἐν δρυμοῖς μελία, πίτυς ἐν κάποις τοι ὑπείξει.
Με. Ταῦ μνήσθην αὖτις καὶ νικαθέντα ἐρίσδεν
Θύρσιν· κἠκ τούτω Κορύδων Κορύδων πέλεν ἁμῖν.

ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

ΕΚΛΟΓΗ Θ΄.

Δάμων, Ἀλφεσίβοιος.

Τῶν νομέων μῶσαν Δάμωνος κ' Ἀλφεσιβοίω,
Ὧς πόκα ἁ δαμάλα ποιᾶν λαθοῖσα ἐθάμβει
Μαρναμένως· καὶ ὧν λύγκες μέλεσ' ἐξεπλάγησαν,
Καὶ μὰν οἱ ποταμοὶ στρεφθέντες ἑὸν ῥόον ἔσχον,
Ἅδωμες μῶσαν Δάμωνος κ' Ἀλφεσιβοίω.
Τὺ μὴν ἐμοί, Τιμαύοιο, πέτρας νῦν εἴτε παρέρχῃ
Εἴθ' ἅλα Ἰλλυρικὰν· πόκα ἔσσεται ἠνίδε κεῖνο
Ἆμαρ ἐν ᾧ μ' ἐξέσται ἀείδεν λαμπρὰ τὰ ἔργα;
Ἠνίδε ἐσσεῖται ὡς πάντ' ἀνὰ κόσμον ἐνεῖκαι
Ἐξῇ ἐμοὶ Σοφοκλοῖς μέλη ἄξια σεῖο κοθόρνω.
Ἐν σοὶ μὲν λήξω· καὶ ἄρξω· στῆσιν ἐφετμαῖς,
Ὧν ἐξῆρχα μέλη λαβὲ· κ' ἀμφὶ τεὰ κροτάφοισι
Τόνδ' ἕρπειν κισσὸν νικαστάς τοι ἀνὰ δάφνας.
Ἁ σκιὰ ὠρανόθεν ψυχρᾶς νυκτὸς μόγις ἔρψεν,
Ἁνίκα ἐν βοτάναις ἁπαλαῖς ἁδὺς δρόσος ἐντί,
Δάμων τᾷ ἐλαίᾳ ἐπικείμενος ἄρξατο ὧδε.
Δ. Καὶ ἀνάτελλε κ' ἄγε προφθάνων φωσφόρε ἆμαρ
Ὅττι με ἐξαπάτησεν ἀεικεῖ Νίσα ἔρωτι
Μεῦ ὀλοφυρομένοιο, θεὼς καὶ προσκαλέοντος
Μάρτυρας, ἀλλὰ μάτην, πυμάτῃ θνάσκοντος ἐν
Ἀρχεο Μαιναλικᾶν σὺν ἐμοὶ ἐμὲ αὐλὲ ἀοιδᾶν (ὥρα

Μαι-

Μαίναλος ἠδ᾽ ἄλσος λιγυρὸν, πίτυάς τε λαλοίσας
Αἰὲν ἔχει· αἰεὶ νομέων ὅδ᾽ ἀκούει ἔρωτας
Πανά τε ὃς καλάμως ὁ πρᾶτος ἔασκεν ἀεργώς.
Ἄρχεο Μαιναλιᾶν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ, ἀοιδᾶν.
Μόψος ἔχει Νίζαν· τί μὴ ἐπιπώμεθα ἐρασταί·
Γρῦπας νῦν ἵπποις ζεύξωμεν· καὶ μετέπειτα
Σὺν κυσὶν αἱ δειλαὶ ποτὶ γαυλῶς δορκὰς ἐφήξει,
Τὰς δαΐδας νεαρὰς τέμνε, Μόψε ἄκοιτιν ἔγημας,
Πάσσε αἶψ᾽ ἐρ κάρυας· τοι γὰρ λίπεν Ἕσπερος Οἴταν.
Ἄρχεο Μαιναλιᾶν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ, ἀοιδᾶν.
Ἀξίω ὦ γαμετὴ ἀνδρὸς, παρορῆς ὅτε πάντας,
Ὁππότε μοι σύριγγά τυ μισεῖς, ὁππότε αἶγας,
Ὄφρυα καὶ λασιαί, τὸ ἐμὸν μακρὸν ἠδὲ γένειον,
Οὐδὲ θεῶν τιν᾽ ἐπιχθονίων κήδεσθαι οἴεις.
Ἄρχεο Μαιναλιᾶν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ ἀοιδᾶν.
Αἱμασιαῖς ἁμαῖς σμικράν σε ὑπόδροσα μᾶλα
Δρεψαμένω σὺν ματρὶ ἴδον χ᾽ ὁδὸν ἡγεμόνευον,
Αὐτὸς ἔχων τότ᾽ ἐγὼ δύο καὶ δέκα τοὺς ἐνιαυτούς.
Ἤδη ἠδυνάμην ψαῦσαι ἀπὸ τῆς χθονὸς ὄζων.
Ὡς ἴδον, ὡς ἐμάνην, κακὴ ὥς με ἀφείλετο πλάνη.
Ἄρχεο Μαιναλιᾶν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ, ἀοιδᾶν.
Νῦν ἔγνων τὸν ἔρωτα, πέτραις συφύῃσιν ἐκεῖνον
Ἴσμαρος, ἢ Ροδόπη, ἢ ἔσχατοι οἱ Γαράμαντες,
Τίκτουσιν παῖδ᾽ οὐδὲ γένους, οὐδ᾽ αἵματος ἁμῶν,
Ἄρχεο Μαιναλιᾶν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ ἀοιδᾶν.
Δεινὸς ἔρως ἐδίδαξε τῷ αἵματι ματέρα τέκνων

Χεῖρε

Χαῖρε μαινόμεναι ἀ· ὠμὰ καὶ σύγε μάτηρ,
Ἢ ἦν ὠμοτέρα μάτηρ, ἢ δειλότερος παῖς;
Δειλὸς ἔην τῆνος παῖς· ὠμὰ καὶ σύγε μάτηρ.
Ἄρχεο Μαιναλιαν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ ἀοιδᾶν.
Νῦν γε ἑκὼν φεύγοι λύκος οἶας· μᾶλα ἐνείκαι
Χρύσεα ἁ δρῦς ἄκρα, ὅτι κλήθραισι κομάσαι
Νάρκισσος φλοιοῖς ἤλεκτρα μυρῖκαι ἱδρῶσι.
Σκῶπες γαρύσαιντο κύκνοις, ἢ Τίτυρος Ὀρφεὺς,
Ὀρφεὺς ἐν δρυμοῖς, ἀνὰ τοὺς δελφῖνας Ἀρίων.
Ἄρχεο Μαιναλιαν σὺν ἐμοὶ, ἐμὲ αὐλὲ ἀοιδᾶν.
Πάντα γένοιτο μέσος πόντος, νῦν χαίρετε ὗλαι,
Ὤρειος ἐκ σκοπιᾶς αἰπεῦς εἰς πόντον ἁλεῦμαι.
Λάσδεο δῶρον τοῦτο πανύστατον ἀδὺ θανόντος.
Λῆγέ τυ Μαιναλιαν νῦν λῆγέ τυ αὐλὲ ἀοιδᾶν.
Δάμων ταῦθ'· ὑμεῖς δ' ἀμείβετο Ἀλφεσίβοιος,
Εἴπατε Πιερίδες· δυνάμεθ' οὐ πάντες ἅπαντα.
Ὕδωρ φέρε, βωμὼς τᾷ ταινίᾳ ἠδ' ἀνάστεψον,
Ἄρσενα τὸν λίβανόν τε, καὶ αἶθε περιστερεῶνας,
Ὡς ὑγιὲς μαγικοῖς θυέεσσι νόημ' ἀποτρέψω
Τοῦ γαμετοῦ· εἰ μὴ μέλος, οὐδὲν τᾷδ' ἀπολείπει.
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαὶ, ἕλκετε Δάφνιν.
Ἐξάγεν οὐρανόθεν δύναται τὸ μέλισμα σελάναν,
Ἤλλαξεν Κίρκη ἑτάρους Ὀδυσῆος ἀοιδαῖς·
Κόπτεται ὁ ψυχρὸς ἐν λειμῶσιν ὄφις μελέεσσιν.
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαὶ, ἕλκετε Δάφνιν.
Ἀλλοίως πρῶτον τριπλέα χροίᾳ περιβάλλω

Τρεῖς

Τρεῖς τὶν τᾶσδε μίτους· τρὶς τούτοις ἀμφίτω βωμοῖς
Εἰκόν' ἄγω· ἀνίσῳ ὁ Θεὸς γὰρ χαίρει ἀριθμῷ.
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαί, ἕλκετε Δάφνιν.
Τρεῖς Ἀμαρυλλὶ τρισὶν καταδέσμοις σύμπλεκε
χροίας.
Πλέξον νῦν Ἀμαρυλλί, πλέκω, λέγε, δεσμὰ Κυθήρης
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαί, ἕλκετε Δάφνιν.
Τάκεται ὡς κηρὸς, γίνεται καὶ σκληρὸς ὁ πηλὸς
Παρ' πυρὶ τῷ αὐτῷ, ὡς Δάφνις μοῦ ὑπ' ἔρωτος.
Ἄλφιτα πάσσε, καὶ ἀσφάλτῳ κατάκαιέ τυ δάφνας
Δάφνις ἔμ' αἴθει κακός· καὶ ἐγὼ ἐπὶ Δάφνιδι δάφναν.
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαί, ἕλκετε Δάφνιν.
Δάφνιδα τοῖος ἔρως οἷος δαμάλαν, ὅτε δίζην
Τὸν βόα κεκμακυῖα ἀνὰ δρυμώς τε καὶ ἄλση,
Ἐγγύθι τῶ ποταμῶ, χλωρᾷ ἐνὶ φύκει κεῖται
Δύσμορος, οὔτ' εἴχεσθαι ἐμνάσατο νυκτὸς ἐούσης.
Τοῖος ἔχησι ἔρως, ἐμὶν οὐδὲ μέλοι τὸν ἀκεῖσθαι.
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαὶ ἕλκετε Δάφνιν.
Ταῦτα πάλαι ἔναρ' αὐτὸς ἄπιστος ἔμοιγε ἔλειψε
Μνάματα φίλα ἔθεν· τὰ ἐγὼ νῦν φλιᾷ ἐν αὐτῇ
Γῆ ὑπ' ἐγγύῃ σοὶ δίδομαι· τάδε μνάματα Δάφνιν ὀφείλει
Ἕλκετ' ἐμαὶ ποτὶ δῶμα ἀοιδαί, ἕλκετε Δάφνιν.
Τάσδε πόας, τάδε μοι λεχθέντα τε φάρμακα Πόντῳ
Αὐτὸς Μοῖρις ὄπαζε, πέφυκεν πολλ' ἐνὶ Πόντῳ.
Τοῖς θαμὰ γιγνόμενον λύκον εἰν ὕλαις ἐκαλύψαι
Μοῖριν, καὶ ψυχὰς θαμὰ ἐξ ἀΐδαο ἐγεῖραι,
Ἄλ-

Α῎λλη ἀμήπως ἔσιδον φέρειν ἠδὲ παρέντας.
Ε῎λκετ᾽ ἐμαὶ ποτὶ δῶμα ἀοιδαὶ, ἕλκετε Δάφνιν.
Φρὲς κόνιν ὦ Α᾽μάρυλλὶ θύραζε ῥόῳ ποταμοῖο
Ρίψον ὑπὲρ κεφαλῆς τ᾽ ἄστρεπτος· Δάφνιν ἔγωγε
Τοῖς καταθύσομαι· οὐ δίος, οὐ μηδέων μέλει αὐτῷ.
Ε῎λκετ᾽ ἐμαὶ ποτὶ δῶμα ἀοιδαὶ, ἕλκετε Δάφνιν.
Θᾶσαι αὐτομάτως βωμὼς φλογὶ ἁ κόνις αἴθει,
Μεῦ ἔτι μηλλούσης φερέμεν· τόδε εὔτυχες εἴη.
Οὐ μὰν οἶδα τίς ἐστιν. Υ῾λαξ ἐνὶ οὐδῷ ὑλακτεῖ.
Πίς δουμεν; σφίσιν ἢ πλάσσοντι ὄνειρα ἐρασταί.
Φείδευ, ἐκ πόλιος Δάφνις ἵκετο, φείδευ ἀοιδά.

Μ Ο Ι Ρ Ι Σ.

ΕΚΛΟΓΗ Ι΄.

Λυκίδας, Μοῖρις.

Ποῖ τὺ φέρεντι πόδες; μὴ ἃ ἄγι οἶμος ἐς ἄστυ; (κος,
Μ. Νῦν ζῶντες Λυκίδα τόδ᾽ ἐσήλθομες, ὥστε πάροι
(Κ᾽ οὐ πόκα δείδιαμες τοῦθ᾽) ἁμῶς κτεάνων ἀγρῶς
Ταῦτα ἐμ᾽ ἐντὶ λέγῃ, ἀρχαῖοι ἀφέρπετ᾽ ἄγροικοι.
Τώσδ᾽ ἐρίφως λυπεῦ (στρέφε ὅτι ἅπαντα ἁ αἶσα)
(Εἰς κακὸν ὥστε θεοὶ κρίνειαν) πέμπομες αὐτῷ.
Λ. Αὖταρ ἄκουσα μὰν ἃ λόφοι ἄρχοντο καταβαίνεν,
Καὶ κορυφὰς μαλακᾷ καταπλίνεν ἐας ἐνὶ χώρῳ,
Ε῎ς τ᾽ ἐφ᾽ ὕδωρ, καὶ ὠγυγίας κλαθέντ᾽ ἄκρα φαγοῦ,
Πάντα σεσωκέμεναι ὑμὸν μελέεσσι Μενάλκαν.

Η῎κου.

Μ. Ἤκουσας καὶ φάμα ἔην· τόσσον ἀλλὰ ἀοιδαὶ
Ἡμετέρα δύναται Ἄρεος μεθ' ὅπλοις, ἅτε τοῖο
Χαονίας ὅσον ἐρχομένοιο λέγοντι πελείας.
Εἰ μὴ τὰς καινὰς ἀποτέμνειν πως ἐμὲ δίκας
Πέφραδεν ἀπὸ πρίνου σκαιὰ περί μοι εἶπε κορώνα·
Μηδὲ τεὸς Μοῖρις, μήδ' αὐτὸς ζῆσε Μενάλκας.
Λ. Αἶ αἶ ἐστί τις ὡς ἀθέμιστος καὶ κακός; αἶ αἶ,
Ἠρπάθης συ χεδὸν παραμύθιά τ' ὔμμι Μενάλκα.
Τίς νύμφας ἄδῃ, τίς θαλλοίσαις χθόνα πείαις
Πάσσῃ, ἢ ἐ σκιᾷ χλωρᾷ κράνας περιβάλλῃ,
Ἢ ἐ μελίσματα τῆνα, ἃ πρώαν σοι ὑπέκλεψα,
Ὁππότε εἰς ἁμῶν Ἀμαρυλλίδα ἵκεο τερπνόν;
Τίτυρε ἔς τ' ἔλθω, βραχὺς οἶμος, βόσκε τὰς αἶγας;
Καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε, ἐν τῷ ἄγειν τε
Τῷ τράγῳ ἀντιβολεῖν τυ (κορυπτίλος ἐστὶ) φυλάσσευ.
Μ. Καὶ τάδε τῷ Βάρῳ ἀτελῆ ἃ ἔτ' ὄντα ἀείδεν;
Τοὔνομα Βᾶρε τεὸν σώζοιτ' εἰ Μάντυα ἁμῖν,
(Μάντυα αἲ δειλαία ἄγαν πέλας οὖσα Κρεμώνας)
Ὑψόθι ἄδοντες κύκνοι ἀξοῦντι ἐς ἄστρα. (κεράς.
Λ. Ὥς σμίλακας Κύρνης φεύγοι τὰ σὰ σμάνεα πι-
Τεφόγοισαι κύτισον βόες ὡς πλήθοιντο γάλακτος.
Ἄρχεο εἴ τι ἔχῃς, ἐμὲ καὶ ποιεῦντο ποιητὰν
Πιερίδες· μοὶ ἐντὶ μελύδρια, κἤμε λέγοντι
Πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής.
Οὔτε δοκῶ Βαρίω γὰρ ἀείδειν οὐδέ τε Κίννω
Ἄξια, κακκίζων λιγυρῆς ὡς χὴν ἀνὰ κύκνως.

Μ. Τὴν ποιῶ· καὶ ἄκων μερμηρίζω πρὸς ἐμαυτὸν,
Εἰ δύναμαι μνᾶσθαι, οὐκ ἔστ' ἀποβλητὸς ἀοιδά.
Δεῦρ' ἄγε, ὦ Γαλάτεια, τί ἐστιν ἐν ὕδασιν ἀδὺ,
Ὧδ' ἦρ πορφύρεον· χθὼν ποικίλα ὧδ' ἐπιχεῖ
Ἄνθεα ἀμφὶ ῥοαῖς· λεύκη ὧδ' αὔξω ἐφῆπται·
Ἄμπελοι οἱ ῥαδινοὶ τὰς σκηνὰς ὧδε πλέκοντι.
Δεῦρ' ἄγε· ἡ δὲ θάλασσα ἔα ποτὶ θῖνας ὀρεχθεῖν.
Λ. Τί ποτε ἃ μῶνον ἐόντ' ἤκουσα σε νυκτὶ ἀείδειν;
Μιμνήσκω ῥυθμοὺς, εἰ ῥήματα ἐν φρεσὶν εἶχον.
Μ. Δάφνι τι ἀντέλλοντα βλέπεις ἔτι σάματ' ἕωλα,
Ἠνὶ Διωναίου ἐξήλυθε Καίσαρος ἄστρον,
Ἄστρον, ὑφ' ᾧ λαιὸν πολλοῖς καρποῖσι χαρείη,
Καλὰν ἡ δὲ λάβοι σταφυλὴ ἐνὶ ὤρεσι χροίαν.
Ἔμβαλε Δάφν' ἀπίως, κερσοῦντι σὰ μᾶλα υἱωνεῖς.
Πάντα χρόνος ἁρπάζει, καὶ θυμὸν, πολλάκι μακρὸς
Ἀελίως μέμνημ' ἔτι παῖς ᾄδων κεκαλύφθαι.
Τόσσων νῦν μελέων ἐπιλήθομαι· αὐτὴ ἔλειψεν
Καὶ φωνὰ Μοῖριν. πρότεροι Μοῖριν λύκοι εἶδον.
Ἀλλ' ἔμπας τάδ' ἅλις· σοὶ λέξει πολλὰ Μενάλκας.
Λ. Ἀμῶς δὴν ἀναβάλλῃ ἔρωτάς τυ προφασίζων,
Νῦν τιν σιγᾷ ἅπαν πέλαγός τε στορεσθὲν, ἅπασαι
(Θᾶσ') ἀνεμοτροφέος πέσον αἱ ψιθυρίσματος αὖραι
Ἐντεῦθεν μεσάτη ἁμῖν ὁδὸς· ἄρχεται ἤδη
Φαίνεσθαι μέγα σᾶμα Βιάνορος· ὧδ' ὅθι φύλλον
Ἄγροικοι πυκνὸν τέμνοντι, μελίσδωμεν ὧδε·
Ὧδ' εἴριφως καταθεὶς, πρὸς τὴν πόλιν ἱξόμεθ' ἔμπας

Εἰ

Εἰ δὲ φοβεῦμες μὴ πάρος ἁ νὺξ συλλέγοι ὄμβρον·
Ἕρπωμες ἄδοντες, πολὺ κουφοτέρα ὁδὸς ἔσται.
Ὄφρ' ἄδοντες ἥωμες· ἐγὼ ἄχθος τεὸν οἰσῶ.
Μ. Πλείονα παῦε λέγων· ποιῶμες ὃ χερσὶν ἔκειτο,
Ἅδιον ᾄσοντες μέλος, ὁππότε ἔλθῃ ἐκεῖνος.

ΓΑΛΛΟΣ.

ΕΚΛΟΓΗ Κ΄.

Τοῦτον τὸν πύματόν μοι δὸς πόνον, ὦ Ἀρέθουσα.
Παῦρα ἐμοῦ περὶ Γάλλου, ἀτὰρ γνοίη ἁ Λυκῶρις,
Ἄδεν χρή, Γάλλῳ τίς ἀπαρνήσαιτο μέλισμα;
Ὥς τοι Σικανίας ὅκκα ὑπὸ κύματα ἑρψεῖς,
Δωρὶς ἑὸν μηδὲν παραμίξηται πικρὸν ὕδωρ.
Ἄρχεο· δυσκήδεις Γάλλου ᾄδωμες ἔρωτας,
Ἁνίκα τὰς ῥῶπας σιμαὶ βρώσκοντι χίμαιραι.
Ἄδομες οὐ κωφοῖσιν, ἅπαντα ἀμείβεται ἄλσος.
Κῶραι Ναϊάδες τίνας ὕλας ἢ τίνα νάπην
Εἴχετ', ὅκα Γάλλος τῷ ἀεικεῖ τάκετ' ἔρωτι.
Οὐ γὰρ Παρνάσσω ἄκρα ὑμᾶς, οὐδ' ἄκρα Πίνδω
Οὐδὲ ἁ Ἀονίας κράνα Ἀγανίππη ἐπεῖχεν·
Αἱ δάφναι τῆνον, τῆνον μύροντο μυρῖκαι.
Τῆνον ὑπ' ἀκροτόμοισι λίθοις ἀνακείμενον οἷον
Μαίναλος ἡ δὲ πέτραι γοόων ψυχροῖο Λυκαίου.
Ἱστᾶσιν καὶ ὄϊς πέρι, μοῦ μὴν οὐ μέλει αὐταῖς.
Μηδ' ἐπὶ τοῖς μάλοις αἰχμή δὲ ποιητά

Ὤρεῖος

Ὡραῖος καὶ πὰρ ποταμοῖς οἷς βόσκεν Ἄδωνις·
Ἤνθεν χ᾽ ὡ ποιμὰν, βραδέες καὶ βωκόλοι ἦνθεν,
Κ᾽ ἀπὸ χειμερίων βαλάνων λιβερὸς ἦνθε Μενάλκας.
Πάντες ἀνηρώτευν ὅδ᾽ ἔρως πόθεν; ἦνθεν Ἀπόλλων.
Κ᾽ ἦφα, Γάλλε τάλαν τί τυ μαίνεαι; ἡνὶ Λυκωρὶς
Καὶ ἀνὰ τὰς χιόνας, καὶ ἀνὰ στρατὸν, ἄλλῳ ὀπηδεῖ.
Ἤνθεν ἔχων κεφαλῇ τιμὰν Σιλβανὸς ἀγροίκαν,
Νάρθηκας θαλερὸς, ἴα ἠδ᾽ ἀμέγαρτα τινάσσων.
Πὰν θεὸς Ἀρκαδίας ἦνθ᾽ ὅντινα εἴδομες αὐτοὶ,
Ἀκροδρύοισι χαμαιάκτης μίλτῳ τε ἐρυθρόν.
Καὶ τί μέτρον λέγειν, ἔσαι; ἔρωτ᾽ οὐ ταῦτα μέμηλεν,
Δάκρυσιν οὐ κεκόρηται ἔρως; βοτὰν οὔτε ῥεέθροις,
Οὐ χίμαιραι πετάλοις, κυτίσῳ πόκα οὔτε μέλισσαι.
Ἀλλ᾽ ὅγε λυπηρὸς ἐὼν, ἀείσατε, Ἀρκάδες, εἶπεν,
Ὤρεσιν ὑμετέροις τάδε, μοῦνοι δεινοὶ ἀείδειν.
Ἀρκάδες· ὦ τότε μοι κεισεῦνθ᾽ ὡς ἥσυχα ὀστᾶ
Εἴ ποκ᾽ ἐμοὺς σύριγξ ὑμῶν λιγυρείξῃ ἔρωτας.
Αἴθ᾽ ἐγὼ ἐξ ὑμῶν εἷς ὑμῆς ἢ σκοπὸς εἴην
Ποίμνης, τῆς πέπονος σταφυλῆς ἅμα ἠὲ τρυγητὴρ,
Ἦ ῥ᾽ ἁμὶν εἴτ᾽ εἴη ἁ Φύλλις, ἢ εἴη Ἀμύντας,
Ὅστις ἢ εἴη ἔρως· (τί γὰρ, εἰ οἰνωπὸς Ἀμύντας;
Καὶ ἴον ἐστὶ μέλαν, πέλεται μέλας ἠδ᾽ ὑάκινθος;)
Κλινθείη ἅμ᾽ ἐμοὶ ἀνὰ τὰς ἰτέας ὑπὸ οἴνην.
Φύλλις ἐμὶν στεφάνως λέγοι, ἠδὲ ἀείδοι Ἀμύντας.
Τᾷ ψυχραὶ παγαὶ, λειμὼν μαλακός τε Λυκωρί,
Τᾷ νέμος, ὧδ᾽ αὐτῷ ἅμα σοι αἰῶνι φθαρείην.

Νῦν με ἔρως μάργος δεινοῖο Ἄρητος ἐν ὅπλοις,
Καὶ ἀνὰ μέσσα βέλη κατέχει ἐχθρούς τε ἀπεχθεῖς.
Καὶ τύγε μακρὰν ἐοῖσ' (ἀκ αἴ πις δ' ἔμμεν εἴη)
Αἲ δεινὰ Ἀλπεῶν χιόνας, Ῥήνοιό τε κρυμοὺς
Μούνη ἄτερ μεῦ ὁρῇς· αἲ μὴ σίνοιτό σε κρυμός.
Αἲ μὴ κρύσταλλος τέμνοι χλιδανὰ σφυρὰ ὀξύς.
Ἔρψω· χαλκιδικῷ μέλει αἳ ποίηντα ἀοιδὰς
Ποιμένος ἀείσω λεπτοῖς Σικελοῖο δόναξιν.
Μᾶλλον ἐνὶ δρυμοῖς καὶ θηρῶν ἀντέασι πέπεισμαι
Πάντα παθεῖν καὶ ἐμαῖς ἁπαλοῖσι χαράσσειν ἔρωτας
Δένδρεσιν. αὐξομένων τῶν δ' αὐξήσουσιν ἔρωτες.
Μαίναλον ἐντὸς δὲ ξὺν νύμφαις ἀμφιπολήσω;
Ἢ καπρέους θηρεύσω· ἐμ' ἄλσος γὰρ κρύος οὐδὲν
Τῷ κυσὶ Παρθένιον περιβαλλέμεναι ἀπερύξει:
Ἤδη ἐμοὶ δοκέω ἀνὰ πέτρας καὶ νέμος ἠχοῦν
Ἵναι ἀδεῖ Παρθῶν βάλλειν τε Κυδώνια τόξα·
Ἤματα· ὡς τόδ' ἐμᾶς λύσσης παραμύθιον εἴη;
Ἢ ἐ κατηπιόωσι θεὸν τῆνον κακὰ ἀνδρῶν.
Ἤδη μήτε Ἁμαδρυάδες μήτ' ἄμμιν ἀοιδαὶ
Αὐταὶ ἁδοῦσιν· ὦ αὖθις ἀφέρπετε τηλόθι ὗλαι.
Οὐ τῆνον γνάμψαι κακὰ πήματα ἁμὰ δύνανται,
Οὔτ' εἰ τοῖς κρυμνοῖς μέσσοισιν πίνομες Ἕβρον,
Σκυθονίως νιφετοῖς ἢ χείματι δύνομες ὑγρῷ,
Οὔτ' εἰ, ὅτ' ἠλιβάτῃ φλοιὸς πτελέα πέλει αὖος,
Βόσκομες Αἰθιόπων ποίμνας ὑπὸ καρκίνῳ ἄστρῳ.
Νικᾷ ἅπαντα ἔρως· ὑμεῖς κ' εἴκωμες ἔρωτι.

Ταῦτ'

Ταῦτ' ἀρκεῖ μοῖσαι ἀειδέμεν ὑμὸν ἀοιδὸν
Ἑσδόμενον λεπτῷ τε ταλαρὸν πλέξειν τᾶθ' ἰβίσκῳ
Πιερίδες· καὶ ταῦτα μέγιστα ποιήσετε Γάλλῳ,
Γάλλῳ οὗ ἔρως τόσον μοι ἀέξετ' ἐν ὥραις
Εἴαρι νεοφύτῳ ὅσον χλωερὰ ἐκ κλήθρα αἴρεθει.
Ἀλλὰ ἀναστῶμες. σκιὰ ἔστι βαρεῖα ἀοιδοῖς.
Ἀρκεύθοιο βαρεῖα σκιὰ καρποῖσιν ἀπεχθής.
Σῖτα κορεσσάμεναι, ἦλθ' ἕσπερος, οἴκαδ' ἴτ' αἶγες.

ΤΕΛΟΣ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

1.005.651

Errata ſic corrige.

Pagina 81. linea 18. χιμάρας. 82.5. Τ. τὰν πόλιν. ibid. 16. Γαλάτεια. l. vlt. κράναι ἐκάλευν, θάμνοι τιθεῖς. 83.5, ἄπο. ibid. 9. νομαῖς. 85.2. ἄγρια. 86.1. καλύβας. lin. 5. ζεῦξαι. lin. 7. Αμύντας. lin. 9. & 11. Δαμοίτας & ita ſemper deinceps. 87.2. ἄγριος. 88.3. θάμνως. & 11. ὀϊστὸς. 90, 20. Αμύντα. 95.10. εἴθ' ὑπὸ. ibid. ἕρπωμες. 96.1. κλαῦσαν. lin. 22. ἐπιγράψαι. 98.5. βρώσκοντι. 99. 24. δρύας. 100.14. λειφθένθ'. 101.8. περμέασω. 102.7. ἰσδομένω. lin. 8. καλίῤῥοος. 103.16. κάπω. 104, 16. καταβήσεται. 109.5. αὐτῷ. lin. 21. αὐτὰρ. 112.4. πλείονα.

LEGATORIA A. PANDIMIGLIO - ROMA -
1971